888
A62p
B42

Digitized by Google

1817
ARTES SCIENTIA VERITAS
LIBRARY OF THE
UNIVERSITY OF MICHIGAN
E PLURIBUS UNUM
TUEBOR
SI QUÆRIS PENINSULAM AMŒNAM
CIRCUMSPICE

OTTO HARRASSOWITZ
BUCHHANDLUNG
LEIPZIG

Digitized by Google

888
A62p
B42

J.L. HEIBERG

21/10 74.

Digitized by Google

Digitized by Google

# ARATUS

## CUM SCHOLIIS.

RECOGNOVIT

IMMANUEL BEKKERUS.

BEROLINI

TYPIS ET IMPENSIS GE. REIMERI

A. 1828.

Digitized by Google

Digitized by Google

Greek
Harrassowitz
11-21-46
12333

# PRAEFATIO.

Arati codices affero tredecim. quorum

*A*. Parisiensis est Regius 2403, bombycinus ille, forma maxima, foliis 308.

*B*. Paris. Reg. 2726, chartaceus, f. max. is ab initio haec habet a manu recentiore:

*βάρβαρος ȣ̓ πέλομαι, ἀλλ' ȣ̓δέ τε εὔχομαι εἶναι,*
*ȣ̓δὲ πρὸς Ἑλλήνων ψεύδεα μῦθος ἄγει.*
*εἰμὶ Κλιμακοφόρων ἱερὸν γένος, ἔρνος Ἄρηος,*
*Φοῖβον ὅλον κατέχων ςήθεσι, παῖγμα τύχης.*

*C*. Paris. Reg. 2728, chart., f. max., fol. 146. Aratum ponit inter Apollonium Rhodium et Nicandrum, quorum alteri subscribit *θεȣ̃ τὸ δῶρον καὶ Γεωργίȣ θύτȣ πόνος τȣ̃ Γρηγοροπȣ́λȣ*, alteri *Γεώργιος ὁ καὶ ἱερεὺς τȣ̃ Γρηγοροπȣ́λȣ καὶ ταύτην τὴν βίβλον ἐν Κρήτῃ ἐξέγραψεν.*

*D*. Paris. Reg. 2841, membranaceus, quadratus, fol. 66, rescriptus: quo fit ut et folium primum, cui 30 insunt versus, lectu sit difficile et scholia subinde deficiant. desinit Aratus fol. 25 v. in v. 811. *)

*E*. Paris. Reg. 2842, chart., quadr., fol. 118, scriptus ,$α^{ω}$ $υ^{ω}$ $ο^{ω}$ $ε^{ω}$ *νοεμβρίȣ ἑβδόμῃ ἱςαμένȣ*. scholia post v. 443 desunt.

*F*. Paris. Reg. 2843 chart. quadr.

*G*. Paris. Reg. 2860 chart.

*H*. Vaticanus 1307, Arateorum quos viderim antiquissimus, membr., quadr., fol. 112, paginis versuum denorum. Arato praemittit Lycophronem scholiis et ipsum instructum. fuit Fulvii Ursini. eiusdem fuit Vaticanus 1371, chartaceus ille et quadratus, qui a secunda manu Theocritum habet, Orphei hymnos, Aristophanis Plutum, a tertia Planudis Palaetimum et Neophronem, rursus a secunda Michaelis Syncelli *περὶ συντάξεως* libellum.

*) delenda enim littera *D* not. v. 835, 840, 923, 930, 977, 1013, 1145, 1151; delenda not. v. 905 *φαεινῃ D*, 950 *ὑπέκυψε D*, 1080 *φορέωνται D*. et 950 pro *D* ponendum *editi nonnulli*

12-26-47 4SJ

Digitized by Google

*I.* Vaticanus 1910 bombycinus vel chartaceus, f. max., fol. 126, fragmenta habet a pluribus manibus scripta Lycophronis, Dionysii Periegetae, Operum Hesiodeorum et Scuti, Arati denique versus 642, additis ubique scholiis, quorum quae Arati sunt, desinunt in v. 290, postquam manus recentior incepit a v. 285. antiquiori manui simimilis quae Vaticanorum quartum scripsit, 1692, bombycinum, fol. 207, ab initio mutilum. is etiam Periegetam habet et ab aliis manibus alia multa.

*K.* Casanatensis O. Praedicatorum Minervitanorum J. II. 6. hic bombycinus est, f. max., fol. 85, quibus insunt Periegeta cum Eustathio suo, Aratus, Hesiodi Theogonia et a manu recentiore Scuti versus 321.

*L.* Laurentianus plut. 28 cod. 37. scriptus ab Ioanne Scutariota Thessalo Florentiae anno 1464. *emi ego hunc librum Angelus Politianus de heredibus Pauli medici et astronomi Florentini.*

*M.* Venetus Marcianus 476, membr., f. max., fol. 62, antiquus. habet etiam Lycophronem. titulo caret.

*N.* Venetus Marcianus 480, membr., f. max., fol. 442. insunt cum scholiis suis Oppianus, Theocritus, Periegeta, Nicander, Aglaias Byzantius *πρὸς τὰς ἀρχομένας ἀποχύσεις, περὶ μέτρων καὶ σαθμῶν,* Aratus, Hesiodus, Apollonius Rhodius, Orphei Argonautica et hymni, Callimachus. *κτῆμα Βησσαρίωνος.* manus Ioanni Rhoso similis.

qui praeter hos in Marciana sunt Arati codices duo, 317 et 465, recentiores sunt, chartacei ambo et quadrati, a Planudeis versibus liberi.

*O.* Palatinus (in Vaticano) 137, chart., quadr., fol. 153, quorum 127 Theoni data in Ptolemaei canones commentanti et astronomis aliis. Arati desunt versus 454—511. hoc ego non ultra v. 67 usus sum.

Scholia autem non ad codices contuli (habebant ea *ABDEHIKMN* et Vaticanus 1692), sed collatis inter se, quae Buhlius duo una edidit, exemplis utcunque et correxi et supplevi.

Digitized by Google

# ΑΡΑΤΟΥ ΣΟΛΕΩΣ

## ΦΑΙΝΟΜΕΝΑ.

Ἐκ Διὸς ἀρχώμεσθα, τὸν οὐδέποτ' ἄνδρες ἐῶμεν
ἄῤῥητον· μεσταὶ δὲ Διὸς πᾶσαι μὲν ἀγυιαί,
πᾶσαι δ' ἀνθρώπων ἀγοραί, μεστὴ δὲ θάλασσα
καὶ λιμένες· πάντῃ δὲ Διὸς κεχρήμεθα πάντες.
τοῦ γὰρ καὶ γένος εἰμέν· ὁ δ' ἤπιος ἀνθρώποισιν
δεξιὰ σημαίνει, λαοὺς δ' ἐπὶ ἔργον ἐγείρει
μιμνήσκων βιότοιο· λέγει δ' ὅτε βῶλος ἀρίστη
βουσί τε καὶ μακέλῃσι, λέγει δ' ὅτε δεξιαὶ ὧραι
καὶ φυτὰ γυρῶσαι καὶ σπέρματα πάντα βαλέσθαι.
αὐτὸς γὰρ τάγε σήματ' ἐν οὐρανῷ ἐστήριξεν
ἄστρα διακρίνας· ἐσκέψατο δ' εἰς ἐνιαυτόν
ἀστέρας, οἵ κε μάλιστα τετυγμένα σημαίνοιεν
ἀνδράσιν ὡράων, ὄφρ' ἔμπεδα πάντα φύωνται.
τῷ μιν ἀεὶ πρῶτόν τε καὶ ὕστατον ἱλάσκονται.
χαῖρε, πάτερ, μέγα θαῦμα, μέγ' ἀνθρώποισιν ὄνειαρ
αὐτὸς καὶ προτέρη γενεή. χαίροιτε δὲ Μοῦσαι
μειλίχιαι μάλα πᾶσιν· ἐμοί γε μὲν ἀστέρας εἰπεῖν
ῇ θέμις εὐχομένῳ τεκμήρατε πᾶσαν ἀοιδήν.
Οἱ μὲν ὁμῶς πολέες τε καὶ ἄλλυδις ἄλλοι ἰόντες
οὐρανῷ ἕλκονται πάντ' ἤματα συνεχὲς αἰεί·
αὐτὰρ ὅγ' οὐδ' ὀλίγον μεταníσσεται, ἀλλὰ μάλ' αὔτως
ἄξων αἰὲν ἄρηρεν, ἔχει δ' ἀτάλαντον ἁπάντῃ

1. ἀρχώμεθα pr *O*, ἀρχόμεσθα *F*. οὔποτ' *O*. 2. ὑγυιαὶ *C*. 5. καὶ om *C* et pr *M*. γένους *C*. εἰμεν *ADFGHIKLM* et γρ *B*: * (i. e. ceteri codices) ἐσμέν. 7. ὅτι *E*. ἀρίστου *CO*. 8. τε] καὶ *K*. μακέλλησι *GI*. 10. τάγε *BEFGHIKLMN*, τάτε *CO*: * τάδε. 12. κε] τε *E*. μάλιαστα *O*. τετυμμένα *K*. 13. ὁράων *F*. φύονται *F*, γένωνται *D*. 14. ἀεὶ om *I*. ὕστερον *K*. ἀλίσκονται *D*. totum versum om *F*. 15. θαῦμα (χάρμα) *AK*. 16. χαίρετε *FHKM*. 17. πᾶσιν (αι) *L*, om *CO*: * πᾶσαι. ἔμοιγε *HIM*. 18. εἰ *CO*. 19. ἰόντες γρ *G*: * ἐόντες. 20. αἵματα *F*. 21. ὅδ' *BEN*, μετανείσεται *L*. 22. ἤρηρεν *C*.



Digitized by Google

μεσσηγὺς γαῖαν, περὶ δ᾽ οὐρανὸν αὐτὸν ἀγινεῖ.
καί μιν πειραίνουσι δύω πόλοι ἀμφοτέρωθεν·
ἀλλ᾽ ὁ μὲν οὐκ ἐπίοπτος, ὁ δ᾽ ἀντίος ἐκ βορέαο
ὑψόθεν ὠκεανοῖο· δύω δέ μιν ἀμφὶς ἔχουσαι
Ἄρκτοι ἅμα τροχόωσι, τὸ δὴ καλέονται Ἅμαξαι.
αἳ δ᾽ ἤτοι κεφαλὰς μὲν ἐπ᾽ ἰξύας αἰὲν ἔχουσιν
ἀλλήλων, αἰεὶ δὲ κατωμάδιαι φορέονται,
ἔμπαλιν εἰς ὤμους τετραμμέναι. εἰ ἐτεὸν δή,
Κρήτηθεν κεῖναί γε Διὸς μεγάλου ἰότητι
οὐρανὸν εἰσανέβησαν, ὅ μιν τότε κουρίζοντα
Δίκτῳ ἐν εὐώδει, ὄρεος σχεδὸν Ἰδαίοιο,
ἄντρῳ ἐγκατέθεντο καὶ ἔτρεφον εἰς ἐνιαυτόν,
Δικταῖοι Κούρητες ὅτε Κρόνον ἐψεύδοντο.
καὶ τὴν μὲν Κυνόσουραν ἐπίκλησιν καλέουσιν,
τὴν δ᾽ ἑτέρην Ἑλίκην. Ἑλίκῃ γε μὲν ἄνδρες Ἀχαιοί
εἰν ἁλὶ τεκμαίρονται ἵνα χρὴ νῆας ἀγινεῖν·
τῇ δ᾽ ἄρα Φοίνικες πίσυνοι περόωσι θάλασσαν.
ἀλλ᾽ ἡ μὲν καθαρὴ καὶ ἐπιφράσσασθαι ἑτοίμη
πολλὴ φαινομένη Ἑλίκη πρώτης ἀπὸ νυκτός·
ἡ δ᾽ ἑτέρη ὀλίγη μέν, ἀτὰρ ναύτῃσιν ἀρείων·
μειοτέρη γὰρ πᾶσα περιστρέφεται στροφάλιγγι·
τῇ καὶ Σιδόνιοι ἰθύντατα ναυτίλλονται.
Τὰς δὲ δι᾽ ἀμφοτέρας οἵη ποταμοῖο ἀποῤῥώξ
εἱλεῖται μέγα θαῦμα, Δράκων, περί τ᾽ ἀμφί τ᾽ ἐαγὼς
μυρίος· αἱ δ᾽ ἄρα οἱ σπείρης ἑκάτερθε φέρονται
Ἄρκτοι, κυανέου πεφυλαγμέναι ὠκεανοῖο.

23. μεσηγὺς *M*. οὐρανὸν *FM*: * οὐρανός. αὐτὸν *N*. 24. περαίνωσι *K*. δύο *AI*. πόλλοι *A*. 26. ὠκεανοῖο] ἐκ βορέαο *M*. ἔχουσιν *CO*. 27. ἅμα τροχόωσαι *CO*, ἁματροχόωσι *HM*. δὲ *CO*. 28. δ᾽ ἤτοι *M*: * δήτοι. μὲν om *I*. 29. κατωμάδιοι φέρονται *CO*. 31. ἐκεῖναι *O*. γε] δὲ *CO*, om *I*. τότε *ABCDEGIMNO*: * ποτὲ. 32. ἐσανέβησαν *M*. 34. ἐγκατέθητο *C*. ἔτραφον *E*, ἔστρεφον *F*. 35. κουρῆ-
δον
τες *IKLO*. ἐψεύσαντο *O*, ἐψεύσαντο. *C*. 36. καὶ] οἱ *ABCDEFHKLMNO* et γρ *G*. 37. ἑτέραν *BIN*. τε *GI*. 38. ἐν *H*. 40. κῖθαρὴ *O*. ἐπιφράσασθαι *ACDEFHIKMO*, ἐπιφράσσεσθαι *BGN*. 41. ἄπο *F*. versus 42 et 44 om *CO*. 43. μειοτέρη] προτέρη *CO*. 44. καὶ om *F*. σινδόνοι *K*. ναυτίλονται *F*. 45. ἀμφοτέρους *K*. 46. περί] ὑπό *CO* et γρ *B*. 47. μύριος *D*. αἱ] ἐκ *BEN*. φέρονται *GI* et γρ *M*: * φύονται. 48. κυανέοιο *ADGI*.

Digitized by Google

αὐτὰρ ὅγ' ἄλλην μὲν νεάτῃ ἐπιτείνεται οὐρῇ,
ἄλλην δὲ σπείρῃ περιτέμνεται. ἡ μέν οἱ ἄκρη
οὐρὴ πὰρ κεφαλὴν Ἑλίκης ἀποπαύεται ἄρκτου·
σπείρῃ δ' ἐν Κυνόσουρα κάρη ἔχει· ἡ δὲ κατ' αὐτήν
εἱλεῖται κεφαλήν, καί οἱ ποδὸς ἔρχεται ἄχρις,
ἐκ δ' αὖτις παλίνορσος ἀνατρέχει. οὐ μὲν ἐκείνῃ
οἰόθεν, οὐδ' οἶος κεφαλῇ ἐπιλάμπεται ἀστήρ,
ἀλλὰ δύο κροτάφοις, δύο δ' ὄμμασιν· εἷς δ' ὑπένερθεν
ἐσχατιὴν ἐπέχει γένυος δεινοῖο πελώρου.
λοξὸν δ' ἐστὶ κάρη, νεύοντι δὲ πάμπαν ἔοικεν
ἄκρην εἰς Ἑλίκης οὐρήν· μάλα δ' ἐστὶ κατ' ἰθὺ
καὶ στόμα καὶ κροτάφοιο τὰ δεξιὰ νειάτῳ οὐρῇ.
κείνη που κεφαλὴ τῇ νίσσεται, ἧχί περ ἄκραι
μίσγονται δύσιές τε καὶ ἀντολαὶ ἀλλήλῃσιν.

Τῆς δ' ἀγχοῦ μογέοντι κυλίνδεται ἀνδρὶ ἐοικὸς
εἴδωλον. τὸ μὲν οὔτις ἐπίσταται ἀμφαδὸν εἰπεῖν,
οὐδ' ὅτινι κρέμαται κεῖνος πόνῳ, ἀλλά μιν αὔτως
Ἐγγόνασιν καλέουσι. τὸ δ' αὖτ' ἐν γούνασι κάμνον
ὀκλάζοντι ἔοικεν· ἀπ' ἀμφοτέρων δέ οἱ ὤμων
χεῖρες ἀείρονται· τάνυταί γε μὲν ἄλλυδις ἄλλη
ὅσσον ἐπ' ὀργυιήν. μέσσῳ δ' ἐφύπερθε καρήνῳ
δεξιτεροῦ ποδὸς ἄκρον ἔχει σκολιοῖο Δράκοντος.

Αὐτοῦ κἀκεῖνος Στέφανος, τὸν ἀγαυὸν ἔθηκεν
σῆμ' ἔμεναι Διόνυσος ἀποιχομένης Ἀριάδνης,
νώτῳ ὑποστρέφεται κεκμηότος εἰδώλοιο.

49. ἐπιτείνεται *CO*, ἀποτείνεται *DGIM* et γρ *BF*, ἐπιτέλλεται γρ *M*, ὑποτέμνειαι *L*: * ἀποτέμνεται. 51. πρὸς *GI*. ἀνα ἀποπαύεται *B*, ἀναπαύεται *D*. 52. κάρην *D*.
52. κάρην *D*. 54. αὐτῆς *L*. plerique ἐκείνη. 55. οἶος *D*. ἐπιτέλλεται γρ *M*. 56. δύω *O*. 56. κροταφοιο *F*. δ' post εἷς om *K*. 59. οὐράν *K*. μάλιστα *FHKM*. 60. δεξιᾶ *D*. νεάτω *D*, νειάτη *GI*. 61. κείνου corr *A*. νείσσεται *L*, νίσεται *DI*, νήχεται *B* et γρ *L*. 62. σμίγονται *I*. ἀνατολαὶ *IKO*. ἀλλήλαισι *CO*, ἀλλήλοισι *N*. 63. τῆ *GI*.
65. οὐδ' ὅτινι *DM*, οὐδ' ὥτινι *GI*, οὐδ' ὅτ' ἐνι *K*. πόνος *BEGHIKLN* et pr *A*. 66. ἐγγόνασι *BDG*. 67. ὀκνάζοντι *K*. ἀπ' *C*. 68. μιν *G*. 69. ἐπ' *BCEFHKLMN* et corr *A*, εἰς *I*: * ἐς. ὀργυήν *H*. μέσω *N*, μέσσου corr *A*.
71. ἀγανὸς *ABCFILMN*, ἀγαυὸς (ν) *GH*, ἀγαυὸς (ν) *F*, αὐγαὸς *D*. 72. ἔμμεναι *DIM*. διόνυσσος *IM*. ἀποιχόμενος *I*. 73. ὑποςρέφοντι *K*, ἐπιςρέφεται *E*. κεκμηότος *ACDFGHILM*: * κεκμηκότος.

Νώτῳ μὲν Στέφανος πελάει, κεφαλῇ γε μὲν ἄκρῃ
σκέπτεο πὰρ κεφαλὴν Ὀφιούχεον, ἐκ δ' ἄρ' ἐκείνης
αὐτὸν ἐπιφράσσαιο φαεινόμενον Ὀφιοῦχον·
τοῖοί οἱ κεφαλῇ ὑποκείμενοι ἀγλαοὶ ὦμοι
εἴδονται. κεῖνοί γε καὶ ἂν διχόμηνι σελήνῃ
εἰσωποὶ τελέθοιεν· ἀτὰρ χέρες οὐ μάλα ἶσαι·
λεπτὴ γὰρ καὶ τῇ καὶ τῇ ἐπιδέδρομεν αἴγλη.
ἀλλ' ἔμπης κἀκεῖναι ἐπόψιαι· οὐ γὰρ ἐλαφραί.
ἀμφότεραι δ' Ὄφιος πεπονείαται, ὅς ῥά τε μέσσον
δινεύει Ὀφιοῦχον· ὁ δ' ἐμμενὲς εὖ ἐπαρηρὼς
ποσσὶν ἐπιθλίβει μέγα θηρίον ἀμφοτέροισιν,
Σκορπίον, ὀφθαλμῷ τε καὶ ἐν θώρηκι βεβηκὼς
ὀρθός. ἀτάρ οἱ Ὄφις γε δύο στρέφεται μετὰ χερσίν,
δεξιτερῇ ὀλίγος, σκαιῇ γε μὲν ὑψόθι πολλός.
καὶ δή οἱ Στεφάνῳ παρακέκλιται ἄκρα γένεια·
νειόθι δὲ σπείρης μεγάλας ἐπιμαίεο Χηλάς.
ἀλλ' αἱ μὲν φαέων ἐπιδευέες οὐδὲν ἀγαυαί.

'Εξόπιθεν δ' Ἑλίκης φέρεται ἐλάοντι ἐοικὼς
Ἀρκτοφύλαξ, τόν ῥ' ἄνδρες ἐπικλείουσι Βοώτην,
οὕνεχ' ἁμαξαίης ἐπαφώμενος εἴδεται Ἄρκτου.
καὶ μάλα πᾶς ἀρίδηλος· ὑπὸ ζώνῃ δέ οἱ αὐτός
ἐξ ἄλλων Ἀρκτοῦρος ἑλίσσεται ἀμφαδὸν ἀστήρ.

74. μὴν *FG*. 75. ὀφιούχεον *ABDFGHLM*: ὀφιούχοιο *K*, * ὀφιούχου. 76. ἐπιφράσαιο *ACDGI*. 77. τοῖον *D*. οἱ om *C*. ἐπικείμενοι *EFHN*, ἐπικείμενοι (ὑπο) *B*. 78. ἀνδιχόμηνι *DF*, ἐν διχόμηνι *E*. 79. εἰσωποὶ *CFHM*: * ἰσωποί. εἴδονται *DGI* et γρ *B*. χεῖρες *FHM*. μάλ' ἶσαι *M*.
80. priorem καὶ dederunt *DK*. ἐπιδέδρομεν *ACDFGHIKLM*: * ἐξεπιδέδρομεν, *B* quidem in mg posito ὁμῶς. 81. ἀμαυραί *BEFGHKLN* et γρ *A*. 82. ὄφεος *L*. πεπονήαται *ACDGL*. ὅς ῥα μάλιστα *BEFHKLN*. 84. πόσιν *I*. 85. θώρακι *BCDGI*.
86. αὐτάρ *FGIK*. δύω *BCDEGHIKLMN*. 87. ὑψόθι (ε) *B*, πολλόν (αρα) *L*. 88. παρακέκλιται *ACFHKLM*, περικέκλιται *G*, παραβέβλητ' *BEN*: * περικέκλιται. 90. οὐδὲ *AI*, οὐ μὲν *C*.
91. ἐξόπισθεν *HIKL*. omittit versum *N*. 92. ῥ' om *A*.
93. οὕνεκ' ἁμαξαίης *CL*. versum 94 post 97 ponit *K*.
94. παῖς *F*. αὐτοῦ *F*.

Digitized by Google

Ἀμφοτέροισι δὲ ποσσὶν ὑποσκέπτειο Βοώτεω
Παρθένον, ἥ ῥ' ἐν χερσὶ φέρει Στάχυν αἰγλήεντα.
εἴτ' οὖν Ἀστραίου κείνη γένος, ὅν ῥά τέ φασιν
ἄστρων ἀρχαῖον πατέρ' ἔμμεναι, εἴτε τευ ἄλλου,
εὔκηλος φορέοιτο. λόγος γε μὲν ἐντρέχει ἄλλος
ἀνθρώποις, ὡς δῆθεν ἐπιχθονίη πάρος ἦεν,
ἤρχετο δ' ἀνθρώπων κατεναντίη, οὐδέ ποτ' ἀνδρῶν
οὐδέ ποτ' ἀρχαίων ἠνήνατο φῦλα γυναικῶν,
ἀλλ' ἀναμὶξ ἐκάθητο καὶ ἀθανάτη περ ἐοῦσα.
καί ἑ Δίκην καλέεσκον· ἀγειρομένη δὲ γέροντας
ἠέ που εἰν ἀγορῇ ἢ εὐρυχόρῳ ἐν ἀγυιῇ,
δημοτέρας ἤειδεν ἐπισπέρχουσα θέμιστας.
οὔπω λευγαλέου τότε νείκεος ἠπίσταντο,
οὐδὲ διακρίσιος περιμεμφέος, οὐδὲ κυδοιμοῦ·
αὔτως δ' ἔζωον. χαλεπὴ δ' ἀπέκειτο θάλασσα,
καὶ βίον οὔπω νῆες ἀπόπροθεν ἠγίνεσκον·
ἀλλὰ βόες καὶ ἄροτρα καὶ αὐτὴ πότνια λαῶν
μυρία πάντα παρεῖχε Δίκη, δώτειρα δικαίων.
τόφρ' ἦν ὄφρ' ἔτι γαῖα γένος χρύσειον ἔφερβεν.
ἀργυρέῳ δ' ὀλίγη τε καὶ οὐκέτι πάμπαν ὁμοίη
ὡμίλει, ποθέουσα παλαιῶν ἤθεα λαῶν.
ἀλλ' ἔμπης ἔτι κεῖνο κατ' ἀργύρεον γένος ἦεν.
ἤρχετο δ' ἐξ ὀρέων ὑποδείελος ἠχηέντων

96. ποσὶν *I.* ὑποσκέπτειο Buttmannus: ὑποσκέπτεο *CDGI* et correcto ultimo ε *B*, ὑποσκέπταιο *E*, ὑποσκεπτε corr *A*, ὑποσκέπτοιο *HKLM*, ὑποσκέπτου *N*, * ὑποσκέψαιο. βοώτεω *CDGIM*, βοώτου (εω) *B*: * βοώτου. 97. χειρὶ *AC.* φέροι *M.* 98. γῶνος *L.* 99. ἀρχαῖον *DGIKM*: ἀρχαίων (ον) *A*, * ἀρχαίων. πατέρ' ἔμμεναι] πρέμμεναι *I.* του (τευ) *B*, του *EI.* 100. εὔκελος *F.* φέροιτο *K.* μὴν *EFHKN.* 101. ἀνθρώπους *CEFHKLMN.* ὧς *E.* πάρος] παρθένος *G.* 102. κατ' ἐναντίον *C.* 105. δὲ] δέ τε *BN.* 106. ἐν *GK*, εὐρυχώρῳ *ABDEIKN*, εὐρυχώρω (ο) *H.* ἀγυιᾶ *G.* 107. δημοτέρους *E.* ἐπισπεύδουσα *C.* 109. πολυμεμφέας *AG* et γρ *M.*
111. κίον *N.* ἀπόπροθι *I.* 113. δότειρα *AFGHIN*, γε δότειρα *E*, τε δότειρα *B.* δικαίων] λαῶν *ADGI*, πότνα θεάων γρ *B.*
115. ὁμοίη *ADGIL* et γρ *B.* 117. εἶεν *H.*

Digitized by Google

μουνάξ. οὐδέ τεῳ ἐπεμίσγετο μειλιχίοισιν·
ἀλλ' ὁπότ' ἀνθρώπων μεγάλας πλήσαιτο κολώνας,
ἠπείλει δὴ ἔπειτα καθαπτομένη κακότητος,
οὐδ' ἔτ' ἔφη εἰσωπὸς ἐλεύσεσθαι καλέουσιν.
οἵην χρύσειοι πατέρες γενεὴν ἐλίποντο
χειροτέρην· ὑμεῖς δὲ κακώτερα τέξείεσθε.
καὶ δή που πόλεμος, καὶ δὴ καὶ ἀνάρσιον αἷμα
ἔσσεται ἀνθρώποισι, κακοῖς δ' ἐπικείσεται ἄλγος.
ὣς εἰποῦσ' ὀρέων ἐπεμαίετο, τοὺς δ' ἄρα λαοὺς
εἰς αὐτὴν ἔτι πάντας ἐλίμπανε παπταίνοντας.
ἀλλ' ὅτε δὴ κἀκεῖνοι ἐτέθνασαν, οἱ δ' ἐγένοντο,
χαλκείη γενεή, προτέρων ὀλοώτεροι ἄνδρες,
οἳ πρῶτοι κακοεργὸν ἐχαλκεύσαντο μάχαιραν
εἰνοδίην, πρῶτοι δὲ βοῶν ἐπάσαντ' ἀροτήρων,
καὶ τότε μισήσασα Δίκη κείνων γένος ἀνδρῶν
ἔπταθ' ὑπουρανίη· ταύτην δ' ἄρα νάσσατο χώρην,
ἧχί περ ἐννυχίη ἔτι φαίνεται ἀνθρώποισιν
Παρθένος, ἐγγὺς ἐοῦσα πολυσκέπτοιο Βοώτεω.
Τῆς ὑπὲρ ἀμφοτέρων ὤμων εἱλίσσεται ἀστὴρ
[δεξιτερῇ πτέρυγι· Προτρυγητὴρ δ' αὖτε καλεῖται·]
τόσσος μὲν μεγέθει, τοίη δ' ἐγκείμενος αἴγλη,

119. μοῦναξ *F*, μουνὲξ *N*. οὐδέ τεῳ *BEFHLMN* cum pr *A* et corr *I*: οὐδέ τῷ *CDGK*, οὐδετέρῳ pr *I* et corr *A*. απεμίσγετο (ἐπι) *B*. μειλιχίησιν *ACGI*. 121. δ' ἔπειτα *G*. 122. ἰσωπὸς *DGKL*. χατέουσιν corr *A*. 123. χρύσεοι *K*. 124. τεξείεσθαι *K*. 125. πόλεμος *B*, πόλεμος (οι) *EN*, πολέμοιο *I*. δὴ καὶ] δή που *L*: om καὶ *ABDEFGHKN*. ἀνάρσιον (που) *B*. 126. εἴσετ' ἐν ἀνθρώποισι *I*. κακοῖς *BEN*, κακῶν *AFHILM*, κακὸν *DGK* et γρ *B*, κακοῦ *C*. δ' οὐκ ἔσσεται ἀλκή *I* et corr *A*. 127. ἐπεβαίνετο *K*. 128. ἔτι πάντας *BGHKLMN* et pr *A*, ἐπιπάμπαν *I*: * ἔτι πάμπαν. ἐλίπανε *F*. 129. ἐτέθνασαν (ε) *B*, ἐτέθνεσαν *CI*. ἐλίποντο *I*. 130. ὀλοώτατον *C*. ἀνδρῶν *I*. 131. κακόεργον *K*. 132. ἐπαύσαντ' *K*. 134. ἔπτατ' ἐπουρανίη *EFHKLN*, ἔπτατ' ἐπουρανίη (ὑπ) *B*. ἂρ ἐνάσσατο *AG*, ἄρ' ἐνάσσατο *I*. χώραν *G*. 135. ἔτι om *L*. 136. πολυσκεπτοῖο *C*, περισκέπτοιο mg *B*, πολυσκέπτασ *E*, πολυσκέπτεο *F*, πολυσκέπεο *N*. βοώτεω *CDGIM*, βοώτου (εω) *B*: * βοώτου. 137. ἐλίσσεται *BHKMN*, ἐλίσσεται *I*, versum 138 om *F*. 139. τόσος *M*. τοίηδ' *BDEFGHKMN* et pr *A*, τόσση δ' *I* et corr *A*.

Digitized by Google

οἷος καὶ μεγάλης οὐρὴν ὑποφαίνεται Ἄρκτου.
δεινὴ γὰρ κείνῃ, δεινοὶ δέ οἱ ἐγγύθεν εἰσὶν
ἀστέρες· οὐκ ἂν τούς γε ἰδὼν ἐπιτεκμήραιο,
οἷός οἱ πρὸ ποδῶν φέρεται καλός τε μέγας τε,
εἷς μὲν ὑπωμαίων, εἷς δ' ἰξυόθεν κατιόντων,
ἄλλος δ' οὐραίοις ὑπὸ γούνασιν. ἀλλ' ἄρα πάντες
ἁπλόοι ἄλλοθεν ἄλλος ἀνωνυμίῃ φορέονται.

Κρατὶ δέ οἱ Δίδυμοι, μέσσῃ δ' ὕπο Καρκίνος ἐστίν·
ποσσὶ δ' ὀπισθοτέροισι Λέων ὕπο καλὰ φαείνει.
ἔνθα μὲν ἠελίοιο θερείταταί εἰσι κέλευθοι·
αἱ δέ που ἀσταχύων κενεαὶ φαίνονται ἄρουραι
ἠελίου τὰ πρῶτα συνερχομένοιο Λέοντι.
τῆμος καὶ κελάδοντες ἐτησίαι εὐρέϊ πόντῳ
ἀθρόοι ἐμπίπτουσιν, ὁ δὲ πλόος οὐκέτι κώπαις
ὥριος. εὐρεῖαί μοι ἀρέσκοιεν τότε νῆες,
εἰς ἄνεμον δὲ τὰ πηδὰ κυβερνητῆρες ἔχοιεν.

Εἰ δέ τοι Ἡνίοχόν τε καὶ ἀστέρας Ἡνιόχοιο
σκέπτεσθαι δοκέει, καί τοι φάτις ἤλυθεν Αἰγός,
αὐτῆς ἠδ' Ἐρίφων, οἵτ' εἰν ἁλὶ πορφυρούσῃ
πολλάκις ἐσκέψαντο κεδαιομένους ἀνθρώπους,
αὐτὸν μέν μιν ἅπαντα μέγαν Διδύμων ἐπὶ λαιὰ
κεκλιμένον δήεις· Ἑλίκης δέ οἱ ἄκρα κάρηνα
ἀντία δινεύει. σκαιῷ δ' ἐπελήλαται ὤμῳ
Αἲξ ἱερή, τὴν μέν τε λόγος Διὶ μαζὸν ἐπισχεῖν·
Ὠλενίην δέ μιν Αἶγα Διὸς καλέουσ' ὑποφῆται.
ἀλλ' ἡ μὲν πολλή τε καὶ ἀγλαή· οἱ δέ οἱ αὐτοῦ
λεπτὰ φαείνονται Ἔριφοι καρπὸν κάτα χειρός.

140. οἷος om *C*. μεγάλην *CDI*, μεγάλη^ς^ν *M*. 141. δεινοὶ] δεινοῖο *C*. 142. γ' εἰδῶν *D*. post 142 *BEN* addunt οἵ μιν πᾶσαν ὄπισθεν ἑλισσόμενοι τυπόωσιν, *B* quidem in mg positis ἀστέρας οἵ μιν ὄπισθεν. 143. τοῖός *A*. φαίνεται *EFGHKN* et mg *B*. 144. ὑπ' ὠμαίων *BD*, ὑπ' ὀμαίων *F*. 145. ὑραίοις *F*. 146. ἄλλος] δ' ἄλλος *DG* et rc *B*. 147. μέση ὑπὸ *M*. καρκίνος — 148. λέων ὑπὸ om *N*. 148. ὀπισθοτέροισι *ACEFGHIKLM*: * ἀμφοτέροισι. 150. φορέονται *L*. 152. ἐτήσιοι *IK*. 154. μοι] μὲν *I*. 155. δὴ *K*. 156. τοι] τι *F*. 157. δοκέει *IL*: * δοκέοι. 158. ὅτ' *I*. πορφυρούσῃ *ADEFGHILMN*: πορφυρ^ε^ούσῃ *B*, * πορφυρεούσῃς 159. κε ῥαιομένους γρ *L*. 160. λαια *ACDGK*: * λαιᾷ. 161. κεκλιμένος *E*. 162. δινεύω *E*. ἐπιλήλασται *N*. 163. ^τι^ τε *B*. 165. πολλή] καθαρή *I*. ἀγαυή *DG*. δέ *DEF*: * δὲ. αὐτοὶ *D*.

*Πὰρ ποσὶ δ' Ἡνιόχου κεραὸν πεπτηότα* Ταῦρον
*μαίεσθαι. τὰ δέ οἱ μάλ' ἐοικότα σήματα κεῖται·*
*τοίη οἱ κεφαλὴ διακέκριται· οὐδέ τις ἄλλῳ*
*σήματι τεκμήραιτο κάρη βοός, οἷά μιν αὐτοὶ*
*ἀστέρες ἀμφοτέρωθεν ἑλισσόμενοι τυπόωσιν.*
*καὶ λίην κείνων ὄνομ' εἴρεται, οὐδέ τοι αὔτως*
*νήκουστοι* Ὑάδες. *ταὶ μέν ῥ' ἐπὶ παντὶ μετώπῳ*
*Ταύρου βεβλέαται· λαιοῦ δὲ κεράατος ἄκρον*
*καὶ πόδα δεξιτερὸν παρακειμένου Ἡνιόχοιο*
*εἷς ἀστὴρ ἐπέχει, συνεληλάμενοι δὲ φέρονται.*
*ἀλλ' αἰεὶ Ταῦρος προφερέστερος Ἡνιόχοιο*
*εἰς ἑτέρην καταβῆναι, ὁμηλυσίῃ περ ἀνελθών.*
*Οὐδ' ἄρα Κηφῆος μογερὸν γένος Ἰασίδαο*
*αὔτως ἄρρητον κατακείσεται· ἀλλ' ἄρα καὶ τῶν*
*οὐρανὸν εἰς ὄνομ' ἦλθεν, ἐπεὶ Διὸς ἐγγύθεν ἦσαν.*
*αὐτὸς μὲν κατόπισθεν ἐὼν Κυνοσουρίδος Ἄρκτου*
Κηφεύς, *ἀμφοτέρας χεῖρας τανύοντι ἐοικώς·*
*ἴση οἱ στάθμη νεάτης ἀποτείνεται οὐρῆς*
*ἐς πόδας ἀμφοτέρους, ὅσση ποδὸς ἐς πόδα τείνει.*
*αὐτὰρ ἀπὸ ζώνης ὀλίγον κε μεταβλέψειας*
*πρώτης ἱέμενος καμπῆς μεγάλοιο Δράκοντος.*
*Τοῦ δ' ἄρα δαιμονίη προκυλίνδεται οὐ μάλα πολλὴ*
*νυκτὶ φαεινομένη παμμήνιδι* Κασσιέπεια·
*οὐ γάρ μιν πολλοὶ καὶ ἐπημοιβοὶ γανόωσιν*

169. *τοῖον* [η] *M.* *οἱ* om *AI.* *ἄλλω* [ος] *A*, *ἄλλος C.* 170. *σήματα B.* *κάρηνα I.* *αὐτὸν C*, *αὐτὸς L.* 172. *οὔνομ' BDFHMN.* *εἴρεαι BEHN* et corr *F*, *εἴρηται AK* et pr *F.* *τι C.* *αὔτως D.* 173. *ἀνήκουστοι I.* *ῥ'* om *F.* 174. *ταύρῳ L.* *κέρατος F.* 175. *παρακειμένου* I. H. Vossius ex Hipparcho: codices *παρακείμενον.* 176. *συνεληλαμένοι BCEFGLN.* 177. *ἀεὶ MN.* *προφερέστατος CI.* 178. *ὁμιλυσίη K.* 179. *μογερὸν*] *ἱερὸν I.* *ἰσαΐδαο D.* 180. *αὔτως D.* *ἄρρηκτον K.* 181. *ἐγγὺς G.* 182. *κατόπιν C.* *ἰὼν I.* 184. *οὐρῆς*] *ἄρκτου ACDGI* et *γρ BM.* 185. *ἀμφοτέρας N.* *ὅση HMN.* 186. *ὑπὸ K.* *κε* om *G.* 187. *πρώτης C*: *πρώτην* [ης] *L*, * *πρώτην.* *ἱέμενος D*, *ἱέμενον C.* *καμπῆς C*: *καμπὴν* [ῆς] *L*, * *καμπὴν.* 188. *οὐ μάλα*] *οὐδ' ἄρα AI.* 189. *φαεινομένη ABCDEFGIMN*: * *φαινομένη.* Buttmannus *νυκτὶ δὲ φαινομένη.* *κασιέπεια F.* 190. *οὐ*] *ἢ* Vindobonensis.

Digitized by Google

ἀστέρες, οἵ μιν πᾶσαν ἐπιῤῥήδην στιχόωσιν.
οἵην δὲ κληῗδι θύρην ἔντοσθ' ἀραρυῖαν
δικλίδ' ἐπιπλήσσοντες ἀνακρούουσιν ὀχῆες,
τοῖοί οἱ μουνὰξ ὑποκείμενοι ἰνδάλλονται
ἀστέρες. ἡ δ' αὔτως ὀλίγων ἀποτείνεται ὤμων
ὀργυιήν. φαίης κεν ἀνιάζειν ἐπὶ παιδί.

Αὐτοῦ γὰρ κἀκεῖνο κυλίνδεται αἰνὸν ἄγαλμα
Ἀ ν δ ρ ο μ έ δ η ς ὑπὸ μητρὶ κεκασμένον. οὔ σε μάλ' οἴω
νύκτα περισκέψασθαι, ἵν' αὐτίκα μᾶλλον ἴδηαι·
τοίη οἱ κεφαλή, τοῖοι δέ οἱ ἀμφοτέρωθεν
ὦμοι καὶ πόδες ἀκρότατοι καὶ ζώματα πάντα.
ἀλλ' ἔμπης κἀκεῖθι διωλενίη τετάνυσται,
δεσμὰ δέ οἱ κεῖται καὶ ἐν οὐρανῷ· αἱ δ' ἀνέχονται
αὐτοῦ πεπταμέναι πάντ' ἤματα χεῖρες ἐκείναι.

Ἀλλ' ἄρα οἱ καὶ κρατὶ πέλωρ ἐπελήλαται Ἵ π π ο ς
γαστέρι νειαίρῃ· ξυνὸς δ' ἐπιλάμπεται ἀστὴρ
τοῦ μὲν ἐπ' ὀμφαλίῳ, τῆς δ' ἐσχατόωντι καρήνῳ.
οἱ δ' ἄρ' ἔτι τρεῖς ἄλλοι ἐπὶ πλευράς τε καὶ ὤμους
Ἵππου δεικανόωσι διασταδὸν ἴσα πέλεθρα,
καλοὶ καὶ μεγάλοι. κεφαλὴ δέ οἱ οὐδὲν ὁμοίη,
οὐδ' αὐχὴν δολιχός περ ἐών. ἀτὰρ ἔσχατος ἀστὴρ
αἰθομένης γένυος καί κεν προτέροις ἐρίσειεν
τέτρασιν, οἵ μιν ἔχουσι περίσκεπτοι μάλ' ἐόντες.
οὐδ' ὅγε τετράπος ἐστίν· ἀπ' ὀμφαλίοιο γὰρ ἄκρου
μεσσόθεν ἡμιτελὴς περιτέλλεται ἱερὸς Ἵππος.
κεῖνον δὴ καί φασι καθ' ὑψηλοῦ Ἑλικῶνος
καλὸν ὕδωρ ἀγαγεῖν εὐαλδέος Ἱππουκρήνης.

191. πάντες *AI*, πάμπαν *C*. ἐπιῤῥήδον *C*. στοχόωσιν *K*. 192. οἵην δὲ κλητδα *D*. ἔντοσθεν *DK*. 193. δικλίδα πεπληγόντες *D*, δίκλιδα πεπλήγοντες *C* cum γρ *BL*, δικλίδ' ἐπιπλήσσοντες *F*.
οἱ
194. τοῖοί *CGIL*: * τοῖόν. οἱ *ACDGHIKLM*; τι *B*, τι *N*: * τοι. μοῦναξ *E*, μουνὲξ *N*. 195. αὐτῶν *DKLM* et pr *H*,
ν ω
αὖτως *B*. ὀλίγον *CK*, ὀλίγον *I*. ἀποτέταται *G*, ἀνατείνεται *C*. 196. ὀργυιὰν *G*. ἀνιηρὴν *AI*. 198. κεκοσμένον *C*, κεκοσμένου *A*, κεκασμένου *L*, κεκομμένον *G*. 200. prius οἱ om *C*. 201. ζώσματα *L*. 204. περιπτάμεναι *G*. 206. νεγαίρῃ *L*. 207. τῆς *A*. ἐσχάτωντι *K*. 209 δικανόωσι *C*. κέλευθα γρ *M*. 210. δέ οἱ] γε μὲν *AI*. 212. αἰθομένη *E*. μεν *K*. προτέροισιν *BFHKMN*. ἐρίσειν *K* et pr *M*. 214. τετράπους *CFGI*. γὰρ] δὲ *G*. 216. δὲ *C*.

Digitized by Google

οὐ γάρ πω Ἑλικὼν ἄκρος κατελείβετο πηγαῖς·
ἀλλ' Ἵππος μιν ἔτυψε· τὸ δ' ἀθρόον αὐτόθεν ὕδωρ
ἐξέχυτο πληγῇ προτέρου ποδός· οἱ δὲ νομῆες
πρῶτοι κεῖνο ποτὸν διεφήμισαν Ἱππουκρήνην.
ἀλλὰ τὸ μὲν πέτρης ἀπολείβεται, οὐδέ ποτ' αὐτὸ
Θεσπιέων ἀνδρῶν ἑκὰς ὄψεαι· αὐτὰρ ὁ Ἵππος
ἐν Διὸς εἱλεῖται, καί τοι πάρα θηήσασθαι.
Αὐτοῦ καὶ Κριοῖο θοώταταί εἰσι κέλευθοι,
ὅς ῥά τε καὶ μήκιστα διωκόμενος περὶ κύκλα
οὐδὲν ἀφαυρότερον τροχάει Κυνοσουρίδος Ἄρκτου,
αὐτὸς μὲν νωθὴς καὶ ἀνάστερος οἷα σελήνῃ
σκέψασθαι, ζώνῃ δ' ἂν ὅμως ἐπιτεκμήραιο
Ἀνδρομέδης· ὀλίγον γὰρ ὑπ' αὐτὴν ἐστήρικται.
μεσσόθι δὲ τρίβει μέγαν οὐρανόν, ἧχί περ ἄκραι
Χηλαὶ καὶ ζώνη περιτέλλεται Ὠρίωνος.
Ἔστι δέ τοι καὶ ἔτ' ἄλλο τετυγμένον ἐγγύθι σῆμα
νειόθεν Ἀνδρομέδης, τὸ δ' ἐπὶ τρισὶν ἐστάθμηται
Δελτωτὸν πλευρῇσιν, ἰσαιομένῃσιν ἐοικὸς
ἀμφοτέρῃς· ἡ δ' οὔτι τόση, μάλα δ' ἐστὶν ἑτοίμη
εὑρέσθαι· περὶ γὰρ πολέων εὐάστερός ἐστιν.
τῶν ὀλίγον Κριοῦ νοτιώτεροι ἀστέρες εἰσίν.
Οἱ δ' ἄρ' ἔτι προτέρω, ἔτι δ' ἐν προμολῇσι νότοιο
Ἰχθύες. ἀλλ' αἰεὶ ἕτερος προφερέστερος ἄλλου,
καὶ μᾶλλον βορέαο νέον κατιόντος ἀκούει.
ἀμφοτέρων δέ σφεων ἀποτείνεται ἠΰτε δεσμά
οὐραίων ἑκάτερθεν ἐπισχερὼ εἰς ἓν ἰόντων.

218 om *F*. που *ABEHN*. πηγαῖος *C*. 219. μὲν *D*. αὐτόθεν] ἐξέχυθ' *I*. 220. ἐξέχυτο] αὐτόθεν *I*. 221. πρῶτα κακεῖνο *I*. 222. ἀλλὰ τὸ μὲν] horum loco lacuna est in *I*. ἀπομαίεται γρ *M*. 223. θεσπιαίων *D*, θεσπεσιέων *ACI*. ὄψ' rc *B*. 224. ἔνδιος *ABDEFGHIKMN*. εἰλεῖται *DEF*. θηήσασθαι *ACDGKLM*: * θηήσεσθαι. 227. ἀμφαυρότερον *C*. τροχεύει *A*. 229. ὁμῶς *ACFHIL*. 232. περιστρέφεται *I*. 233. δή *C*. ἔτ' om *ABEFHKLMN*. ἐγγύθεν *A*. 234. ἐστάθμαται *M*, ἐστάλμαται *BFHN*, ἐστήρικται *I* et γρ *M*. 235. ἰσαιωμένοισιν *A*, ἰσομένῃσιν *K*. 236. ἀμφοτέρῃς *H*, ἀμ-φοτέραις (ον) *L*. τόσῃ *B*, τόσον *D*. δ' om *D*. 237. πέρι *G*. πόλεων *BN*. 238. ὀλίγου *IL*, δ' ὀλίγον rc *B*. κριοῖο *D*. κρονιώτεροι (omisso κριοῦ) *C*. οἱ ἀστέρες *A*. 239. ἐπὶ δὲ Vossius. προμολῆσι *CDG*, προμολῆισι *M*: * προβολῇσι. 241. νέον om *C*. 243. οὐρέων *FIK*.

Digitized by Google

καὶ τὰ μὲν εἷς ἀστὴρ ἐπέχει καλός τε μέγας τε,
ὃν ῥά τε καὶ σύνδεσμον ὑπούραιον καλέουσιν.
Ἀνδρομέδης δέ τοι ὦμος ἀριστερὸς Ἰχθύος ἔστω
σῆμα βορειοτέρου· μάλα γάρ νύ οἱ ἐγγύθεν ἐστίν.
Ἀμφότεροι δὲ πόδες γαμβροῦ ἐπισημαίνοιεν
Περσέος, οἵ ῥά οἱ αἰὲν ἐπωμάδιοι φορέονται.
αὐτὰρ ὅγ' ἐν βορέῳ φέρεται περιμήκετος ἄλλων.
καί οἱ δεξιτερὴ μὲν ἐπὶ κλισμὸν τετάνυσται
πενθερίου δίφροιο· τὰ δ' ἐν ποσὶν οἷα διώκων
ἴχνια μηκύνει κεκονιμένος ἐν Διὶ πατρί.
Ἄγχι δέ οἱ σκαιῆς ἐπιγουνίδος ἤλιθα πᾶσαι
Πληϊάδες φορέονται. ὁ δ' οὐ μάλα πολλὸς ἁπάσας
χῶρος ἔχει, καὶ δ' αὐταὶ ἐπισκέψασθαι ἀφαυραί.
ἑπτάποροι δὴ ταίγε μετ' ἀνθρώπους ὑδέονται,
ἓξ οἶαί περ ἐοῦσαι ἐπόψιαι ὀφθαλμοῖσιν.
οὐ μέν πως ἀπόλωλεν ἀπευθὴς ἐκ Διὸς ἀστήρ,
ἐξ οὗ καὶ γενεῆθεν ἀκούομεν, ἀλλὰ μάλ' αὔτως
εἴρεται. ἑπτὰ δ' ἐκεῖναι ἐπιῤῥήδην καλέονται
Ἀλκυόνη Μερόπη τε Κελαινώ τ' Ἠλέκτρη τε
καὶ Στερόπη καὶ Τηϋγέτη καὶ πότνια Μαῖα.
αἱ μὲν ὁμῶς ὀλίγαι καὶ ἀφεγγέες, ἀλλ' ὀνομασταὶ
ἦρι καὶ ἑσπέριαι, Ζεὺς δ' αἴτιος, εἱλίσσονται,
ὅ σφισι καὶ θέρεος καὶ χείματος ἀρχομένοιο
σημαίνειν ἐκέλευσεν ἐπερχομένου τ' ἀρότοιο.
Καὶ Χέλυς ἥτ' ὀλίγη. τὴν δ' ἄρ' ἔτι καὶ παρὰ λίκνῳ
Ἑρμείης ἐτόρησε, Λύρην δέ μιν εἶπε λέγεσθαι,

245. ὑπούραιον *BCFGHIKN*, ὑπουραῖον *ADEL*, ὑπούραῖον *M*. κικλήσκουσιν *BEFHKN*. 247. βορειότερον *AI*. εἰσὶν *I*.

249. περσέος *EL* et corr *B*: περσεῶς *FG*. * περσέως. αἰὲν om *I*. ἐπωμάδιον *CK*. 250. βορέω *M*: βορείω *K*, * βορέῃ. 252. πενθερίοιο *G*. 253. κεκονιμένος *ACDFGHLM*: κεκονημένος *IK*, * κεκονισμένος. 254. οἱ om *L*. ἐπὶ γουνίδος *ABEF*. ἤλιθα *D*. 255. ἁπασῶν *BEN*. 257. μετ'] ἐπ' *A*, ἐν *I*. ἀνθρώποις *IK*, ἀνθρώποισι *A*. εἰδέονται *G*, ἰδέονται *I*. 258. οἰάπερ *K*. 259. ἀπευθὺς *F*. 260. αὔτως *D*, qui ita solet. 261. εἴρηται *ABGHIK*. δὲ κεῖναι *CDFHM*. 262. primum τε om *G*. 264. ὅμως *K*. 265. δ' om *C*. εἱλίσσονται *DE*. 266. ὃ *I*. σφῆσι *K*, φησι *C*. 267. ἀμρότοιο *BEN*. 268. ἦδ' Vossius. 269. ἑρμείης *AEGIKL*, ἑρμήεις *BDFHMN*, ἑρμείας *C*.

Digitized by Google

καδδ' ἔθετο προπάροιθεν ἀπευθέος εἰδώλοιο
οὐρανὸν εἰσαγαγών. τὸ δ' ἐπὶ σκελέεσσι πέτηλον
γούνατί οἱ σκαιῷ πελάει· κεφαλή γε μὲν ἄκρη
ἀντιπέρην Ὄρνιθος ἑλίσσεται· ἡ δὲ μεσηγὺ
ὀρνιθέης κεφαλῆς καὶ γούνατος ἐστήρικται.
Ἤτοι γὰρ καὶ Ζηνὶ παρατρέχει αἰόλος Ὄρνις.
ἀλλ' ὁ μὲν ἠερόεις, τὰ δέ οἱ πτερὰ τετρήχυνται
ἀστράσιν οὔτι λίην μεγάλοις, ἀτὰρ οὐ μὲν ἀφαυροῖς.
αὐτὰρ ὅγ' εὐδιόωντι ποτὴν ὄρνιθι ἐοικὼς
οὔριος εἰς ἑτέρην φέρεται, κατὰ δεξιὰ χειρὸς
Κηφείης ταρσοῖο τὰ δεξιὰ πείρατα τείνων.
λαιῇ δὲ πτέρυγι σκαρθμὸς παρακέκλιται Ἵππου.
Τὸν δὲ μετασκαίροντα δύ' Ἰχθύες ἀμφινέμονται
Ἵππον· πὰρ δ' ἄρα οἱ κεφαλῇ χεὶρ Ὑδροχόοιο
δεξιτερὴ τετάνυσθ'. ὁ δ' ὀπίστερος Αἰγοκερῆος
τέλλεται· αὐτὰρ ὅγε πρότερος καὶ νειόθι μᾶλλον
κέκλιται Αἰγόκερως, ἵνα τε τρέπετ' ἠελίου ἴς.
μὴ κείνῳ ἐνὶ μηνὶ περικλύζοιο θαλάσσῃ
πεπταμένῳ πελάγει κεχρημένος. οὔτε κεν ἠοῖ
πολλὴν πειρήνειας, ἐπεὶ ταχινώταταί εἰσιν·
οὔτ' ἄν τοι νυκτὸς πεφοβημένῳ ἐγγύθεν ἠὼς
ἔλθοι καὶ μάλα πολλὰ βοωμένῳ. οἱ δ' ἀλεγεινοὶ
τῆμος ἐπιρρήσσουσι νότοι, ὁπότ' Αἰγοκερῆϊ
συμφέρετ' ἠέλιος· τότε δὲ κρύος ἐκ Διός ἐστιν
ναύτῃ μαλκιόωντι κακώτατον. ἀλλὰ καὶ ἔμπης

δδ

270. κατ' F. 272. ἐν γούνατί I. 273. μεσσηγὺ K. 274. ὀρνιθείης F. 275. καὶ om G. 276. οἱ πτερὰ τετρήχυνται Mosquensis: οἱ παρατετρήχηνται A, * οἱ ἐπιτετρήχυνται. 277. αὐτὰρ K. 278. ὅτ' BEN. 280. κηφαῖος C. τὰ om G. σήματα φαίνων A. 281. πτέρυγι om DEFHIKMN, in mg ponit B. 282. μετ' ἀσκαίροντα D, μετὰ σκαίροντα G. Arnaldus μέγα σκαίροντα. 283. ὑδριχόοιο D. 284. τετάνυται GL, τάνυται C: * τετάνυσται. ὀπίστερος ABEFHIKLMN: * ὀπίσθερος. 285. πρῶτος G. 286. κέκληται FH. αἰγόκερα L. τε add AG. ἠελίοιο FGHIM et (omisso ἴς) C. 287. θαλάσσης CE. 288. οὐδέ C. κ' ἐν I. 289. περήσειας G. ταχινώτατοί G. 291. καὶ ABCEFG, οἱ γρ B: * ἠ. om D. ἀλγεινοὶ A. 292. ἐπιρρήσουσι ABCDEFGHMN, ἐπιρρήσουσιν K. νότοι] ἤτοι K. 293. συμφέρεται HN. τότε δὲ BDEFGHKLMN: τότε δὴ C, τόδε τε A, τόδε τοι I.
294. κακώτατον Stobaeus: codices κακώτερον.

ἤδη πάντ' ἐνιαυτὸν ὑπὸ στείρῃσι θάλασσα
πορφύρει· ἴκελοι δὲ κολυμβίσιν αἰθυίῃσιν
πολλάκις ἐκ νηῶν πέλαγος περιπαπταίνοντες
ἥμεθ', ἐπ' αἰγιαλοὺς τετραμμένοι· οἱ δ' ἔτι πόρσω
κλύζονται· ὀλίγον δὲ διὰ ξύλον ἄϊδ' ἐρύκει.
  Καὶ δ' ἂν ἐπὶ προτέρῳ γε θαλάσσῃ πολλὰ πεπονθώς,
τόξον ὅτ' ἠέλιος καίει καὶ ῥύτορα τόξου,
ἑσπέριος κατάγοιο, πεποιθὼς οὐκέτι νυκτί.
σῆμα δέ τοι κείνης ὥρης καὶ μηνὸς ἐκείνου
Σκορπίος ἀντέλλων εἴη πυμάτης ἐπὶ νυκτός.
ἤτοι γὰρ μέγα τόξον ἀνέλκεται ἐγγύθι κέντρου
Τοξευτής· ὀλίγον δὲ παροίτερος ἵσταται αὐτοῦ
Σκορπίος ἀντέλλων, ὁ δ' ἀνέρχεται αὐτίκα μᾶλλον.
τῆμος καὶ κεφαλὴ Κυνοσουρίδος ἀκρόθι νυκτός
ὕψι μάλα τροχάει, ὁ δὲ δύεται ἠῶθι πρό
ἀθρόος Ὠρίων, Κηφεὺς δ' ἀπὸ χειρὸς ἐπ' ἰξύν.
  Ἔστι δέ τις προτέρω βεβλημένος ἄλλος Ὀϊστός
αὐτὸς ἄτερ τόξου· ὁ δέ οἱ παραπέπταται Ὄρνις
ἀσσότερον βορέω. σχεδόθεν δέ οἱ ἄλλος ἄηται
οὐ τόσσος μεγέθει, χαλεπός γε μὲν ἐξ ἁλὸς ἐλθεῖν
νυκτὸς ἀπερχομένης· καί μιν καλέουσιν Ἀητόν.
  Δελφὶς δ' οὐ μάλα πολλὸς ἐπιτρέχει Αἰγοκερῆϊ
μεσσόθεν ἠερόεις· τὰ δέ οἱ περὶ τέσσαρα κεῖται
γλήνεα, παρβολάδην δύο πὰρ δύο πεπτηῶτα.

324. 353.
361. 615.

296. πορφυρέει K. 297. πολλάκι δ' ABDEHKLMN. πέρι παπταίνοντες H, παραπαπταίνοντες C. 298. ἥμεθ' BDEFG: * ἥμεθ'. ἐς I. δέ τι FM, δὲ τὸ A, δέ τοι D. πρόσσω C. 299. ἐρύκοι A. 300. ἔτι GI. προτέρων BEN. γε om GK. θαλάσσῃ] μηνὶ G. 301. καίει ADGHKL, κάρει I: * καίῃ. ῥυτῆρα AFGHN, ῥύτηρα M, ῥυτῆρά γε (τε) B, ῥυτῆρά γε E, ῥήτορα C. 302. πεπονθὼς C. 303. ὥρας C.
304. ὑπὸ L, ἔτι C et γρ L. 306. παροίτερος (ν) B, παροίτερον (ς) M, παροίτερον D. 307. ἀνατέλλων AG. ὑνέλκεται C. μάλα A.
309. δ' ἀνέρχεται A, δ' ἀπέρχεται K. ἠόθι D.
310. ἀθρόως ACI. 311. τις] τοι BEFGHKLMN.
312. αὐτὸς] γυμνὸς I. τόξου om pr K. παρπέπταται N, παρακέκλιται I. 313. οἱ] γ' K. ἀήτης BEN, ἄντα A, ἄγῑπαι K. 314. οὔτι τόσος I. 315. ἐπερχομένης AI. ἀετάν C, ἀντόν D. 316. δελφοῖς C. 317. παρὰ AGI. 318. παρμολάδην (β) EN, παρμολάδην B. πεπτηότα D.

Digitized by Google

*Καὶ τὰ μὲν οὖν βορέω καὶ ἀλήσιος ἠελίοιο*
*μεσσηγὺς κέχυται· τὰ δὲ νειόθι τέλλεται ἄλλα*
*πολλὰ μεταξὺ νότοιο καὶ ἠελίοιο κελεύθου.*
*Λοξὸς μὲν Ταύροιο τομῇ ὑποκέκλιται αὐτός*
*Ὠρίων. μὴ κεῖνον ὅτις καθαρῇ ἐνὶ νυκτί*
*ὑψοῦ πεπτηῶτα παρέρχεται, ἄλλα πεποίθοι*
*οὐρανὸν εἰσανιδὼν προφερέστερα θηήσασθαι.*
*Τοῖός οἱ καὶ φρουρὸς ἀειρομένῳ ὑπὸ νώτῳ*
*φαίνεται ἀμφοτέροισι Κύων ἐπὶ ποσσὶ βεβηκώς,*
*ποικίλος, οὐ μὲν πάντα πεφασμένος· ἀλλὰ κατ᾽ αὐτήν*
*γαστέρα κυάνεος περιτέλλεται, ἡ δέ οἱ ἄκρη*
*ἀστέρι βέβληται δεινῇ γένυς, ὅς ῥα μάλιστα*
*ὀξέα σειριάει· καί μιν καλέουσ᾽ ἄνθρωποι*
*Σείριον. οὐκέτι κεῖνον ἅμ᾽ ἠελίῳ ἀνιόντα*
*φυταλιαὶ ψεύδονται ἀναλδέα φυλλιόωσαι·*
*ῥεῖα γὰρ οὖν ἔκρινε διὰ στίχας ὀξὺς ἀΐξας,*
*καὶ τὰ μὲν ἔρρωσεν, τῶν δὲ φλόον ὤλεσε πάντα.*
*κείνου καὶ κατιόντος ἀκούομεν· οἱ δὲ δὴ ἄλλοι*
*σῆμ᾽ ἔμεναι μελέεσσιν ἐλαφρότεροι περίκεινται.*
*Ποσσὶν δ᾽ Ὠρίωνος ὑπ᾽ ἀμφοτέροισι Λαγωός*
*ἐμμενὲς ἤματα πάντα διώκεται. αὐτὰρ ὅγ᾽ αἰεί*
*Σείριος ἐξόπιθεν φέρεται μετιόντι ἐοικώς,*
*καί οἱ ἐπαντέλλει, καί μιν κατιόντα δοκεύει.*
*Ἡ δὲ Κυνὸς μεγάλοιο κατ᾽ οὐρὴν ἕλκεται Ἀργώ*
*πρυμνόθεν· οὐ γὰρ τῇγε κατὰ χρέος εἰσὶ κέλευθοι,*
*ἀλλ᾽ ὄπιθεν φέρεται τετραμμένη, οἷα καὶ αὐταί*

321. *κέλευθα C.* 322. *τιμῇ K.* 323. *ὅστις ACGIK.* *ἐνὶ ADGIL, ἐν B, ἐν EFHKMN, ἐπὶ C.* 324. *ἄλλα LM:* * *ἀλλά.* *πεποίθει G.* 325. *προφερέστατα GK, προτερέστερα C.* 326. *τοι D.* *νότω I.* 327. *φαίνετ᾽ HK.* *ἐπὶ* Arnaldus: codices *ὑπό.* 328. *οὐ μεν I:* * *ἀλλ᾽ οὐ.* 329. *κύανος F.* *ἡ] οἱ D.* 331. *καλέουσιν BFGHKN.* 332. *ἀνιόντι CGHIKM.* 334. *οὖν] αὖ K,* om *C.* 335. *τῶν] τὸν I, τὰ A.* 336. *καὶ* om *D.* *δὲ δὴ ACDFGHIKLM:* * *δέ οἱ.* 337. *δῆμ᾽ L.* 338. *ποσσὶ HM, ποσὶ K.* *ἐπ᾽ K.* 339. *ἔμμεν᾽ ἐς BEN.* *αὐτὰρ* om *A.* 340. *ἐξόπισθεν AGHIKMN.* *μετιόωντι BEFN* et (corr in *ε*) *H, μητιόωντι M, μιλτιόωντι K.* 341. *κατιόνδα B, κατιόωντα E, ἐπιόντα C* et *γρ L.* *δοκεύει CI* et *γρ LM:* *ἢ διωκεύει* *δοκεύει K,* * *διώκει.* 343. *τῇ] τοί D.* 344. *ὄπισθεν IN.* *ἄλλαι* fortasse scholia.

νῆες, ὅτ' ἤδη ναῦται ἐπιστρέψωσι κορώνην
ὅρμον ἐσερχόμενοι· τὴν δ' αὐτίκα πᾶς ἀνακόπτει
νῆα, παλιῤῥοθίη δὲ καθάπτεται ἠπείροιο·
ὣς ἥγε πρύμνηθεν Ἰησονὶς ἕλκεται Ἀργώ.
καὶ τὰ μὲν ἠερίη καὶ ἀνάστερος ἄχρι παρ' αὐτόν
ἱστὸν ἀπὸ πρῴρης φέρεται, τὰ δὲ πᾶσα φαεινή.
καί οἱ πηδάλιον κεχαλασμένον ἐστήρικται
ποσσὶν ὕπ' οὐραίοισι Κυνὸς προπάροιθεν ἰόντος.
Τὴν δὲ καὶ οὐκ ὀλίγον περ ἀπόπροθι πεπτηυῖαν
Ἀνδρομέδην μέγα Κῆτος ἐπερχόμενον κατεπείγει.
ἡ μὲν γὰρ Θρήϊκος ὑπὸ πνοιῇ βορέαο
κεκλιμένη φέρεται, τὸ δέ οἱ νότος ἐχθρὸν ἀγινεῖ
Κῆτος, ὑπὸ Κριῷ τε καὶ Ἰχθύσιν ἀμφοτέροισιν,
βαιὸν ὑπὲρ Ποταμοῦ βεβλημένον ἀστερόεντος.
Οἶον γὰρ κἀκεῖνο θεῶν ὑπὸ ποσσὶ φορεῖται
λείψανον Ἠριδανοῖο, πολυκλαύτου ποταμοῖο.
καὶ τὸ μὲν Ὠρίωνος ὑπὸ σκαιὸν πόδα τείνει·
δεσμοὶ δ' οὐραῖοι, τοῖς Ἰχθύες ἄκροι ἔχονται,
ἄμφω συμφορέονται ἀπ' οὐραίων κατιόντες,
κητείης δ' ὄπιθεν λοφίης ἐπιμὶξ φορέονται
εἰς ἓν ἐλαυνόμενοι· ἑνὶ δ' ἀστέρι πειραίνονται
Κήτεος, ὃς κείνου πρώτῃ ἐπίκειται ἀκάνθῃ.
Οἱ δ' ὀλίγῳ μέτρῳ, ὀλίγῃ δ' ἐγκείμενοι αἴγλῃ
μεσσόθι πηδαλίου καὶ Κήτεος εἱλίσσονται,
γλαυκοῦ πεπτηῶτες ὑπὸ πλευρῇσι Λαγωοῦ
νώνυμοι· οὐ γὰρ τοίγε τετυγμένου εἰδώλοιο

345. ὅτ' ἤδη ACDFGHIKLM et mg B: * ὅταν δή. ἐπιστρέψωσι ACDGIKLM, ἀποστρέψωσι γρ M: ἐπιτρέψωσι. 346. εἰσερχόμενοι K, ἐπερχόμενοι I. πᾶσαν C. 348. ἰησσονὶς K. 349. ἄχρι] οἷα C. 350. πάντα φαείνει G. 352. ἰόντος A. 353. ἀπόπροθι B (ε suprascr.). 354. ἐπερχομένην C, ἐπειγόμενον A. 355. θρηΐκιος K (ος suprascr.). 356. νότον EI, νάτον B. ἀχθρὸν A, ὑγρὸν E. 357. κριῷ καὶ C, κριοῖσι καὶ mg B. 359. οἷον I: * οἷον. 360. πολυκλαύτου DHKLM: πολυκλαύςου FI (τ suprascr.), πολυκλάστου C, * πολυκλαύςου. 362. ἰχθύαις K. ἄκροι] ἀμφὶς C. 363. συμφέρονται G. 364. ὄπισθεν N. 365. περαίνονται K. 368. πηδαλοῖο A. 369. πλευροισι A. 370. τε B (γ suprascr.), om EFGHMN. τετυγμένον K.

βεβλέαται μελέεσσιν ἐοικότες, οἷά τε πολλὰ
ἐξείης στιχόωντα παρέρχεται αὐτὰ κέλευθα
ἀνομένων ἐτέων, τά τις ἀνδρῶν οὐκέτ' ἐόντων
ἐφράσατ' ἠδ' ἐνόησεν ἅπαντ' ὀνομαστὶ καλέσσαι
ἤλιθα μορφώσας. οὐ γάρ κ' ἐδυνήσατο πάντων
οἰόθι κεκριμένων ὄνομ' εἰπεῖν οὐδὲ δαῆναι·
πολλοὶ γὰρ πάντῃ, πολέων δ' ἐπὶ ἶσα πέλονται
μέτρα τε καὶ χροιή, πάντες γε μὲν ἀμφιέλικτοι.
τῷ καὶ ὁμηγερέας οἱ ἐείσατο ποιήσασθαι
ἀστέρας, ὄφρ' ἐπιτὰξ ἄλλῳ παρακείμενος ἄλλος
εἴδεα σημαίνοιεν. ἄφαρ δ' ὀνομαστὰ γένοντο
ἄστρα, καὶ οὐκέτι νῦν ὑπὸ θαύματι τέλλεται ἀστήρ.
ἀλλ' οἱ μὲν καθαροῖς ἐναρηρότες εἰδώλοισιν
φαίνονται· τὰ δ' ἔνερθε διωκομένοιο Λαγωοῦ
πάντα μάλ' ἠερόεντα καὶ οὐκ ὀνομαστὰ φέρονται.
Νειόθι δ' Αἰγοκερῆος, ὑπὸ πνοιῇσι νότοιο,
Ἰχθὺς ἐς Κῆτος τετραμμένος αἰωρεῖται
οἶος ἀπὸ προτέρων, Νότιον δέ ἑ κικλήσκουσιν.
Ἄλλοι δὲ σποράδην ὑποκείμενοι Ὑδροχοῆϊ
Κήτεος αἰθερίοιο καὶ Ἰχθύος ἠερέθονται
μέσσοι νωχελέες καὶ ἀνώνυμοι· ἐγγύθι δέ σφεων,
δεξιτερῆς ἀπὸ χειρὸς ἀγαυοῦ Ὑδροχόοιο,
οἵη τίς τ' ὀλίγη χύσις ὕδατος ἔνθα καὶ ἔνθα
σκιδναμένου, χαροποὶ καὶ ἀναλδέες εἰλίσσονται.
ἐν δέ σφιν δύο μᾶλλον ἐειδόμενοι φορέονται
ἀστέρες, οὔτε τι πολλὸν ἀπήοροι οὔτε μάλ' ἐγγύς,

371. βλέαται *F*, βέβληνται *C*. 373. ἀνυμένων *ABDEFGHKLMN*. 374. οὐδ' *BEFHKN* et fortasse pr *M*. καλέσσας *CGLM*, καλέσας *AK*. 375. ἦλιθα *D*. δυνήσαιτο *G*. 376. οἰόθι *CFGHIKLM*: * οἷά τε. κεκριμένον *K*. ὀνόματ' *C*. 377. πολέων] πολλὰ *BEN*, πολλεὶ *F*. δ' om *DHKM*. δ' ἐπὶ] δέ τοι *C*. πλέονται *K*. 378. χροιῇ *HM*, χροιὴν *I*. ἀμφίλεκτοι (υ) *D*. 379. ὁμηγυρέας *G*, ὁμοῦ γερέας *L*. οἱ *CDGI* et mg *B*, κεν *L*: om *AFHKM*: * γε. ἐρίσατο mg *B*, εὐείσατο *C*, εἴσατο *G*. 380. ἐπὶ τάξιν *A*, ἐπὶ ante lacunam *I*. 381. σημαίνοιεν *C*. γένοντο *CDFHKM*, γένοιτο *L*: γένοιντο. 383. καθαροί εἰσιν *A*. 385. ἠερόωντα *M*. πέλονται *ADI* et γρ *B*. 386. πνοῇσι *M*. 387. ἰχθῦς *H*, ἰχθῦες *D*. εἰς *I*. αἰωρεῖται *AI*, αἰώρηται *C*: * ἠώρηται. 389. δὲ] μὲν *D*. ὑδροχόοιο *A*. 390. κήτεος — ἰχθύος] ἰχθύος — κήτεος *I*. αἰθερίου *ACI*.

Digitized by Google

εἷς μὲν ὑπ' ἀμφοτέροισι ποσὶν καλός τε μέγας τε
Ὑδροχόου, ὁ δὲ κυανέου ὑπὸ Κήτεος οὐρῇ,
τοὺς πάντας καλέουσιν Ὕδωρ. ὀλίγοι γε μὲν ἄλλοι
νειόθι Τοξευτῆρος ὑπὸ προτέροισι πόδεσσιν
ἄγνωτοι κύκλῳ περιηγέες εἱλίσσονται.

Αὐτὰρ ὑπ' αἰθομένῳ κέντρῳ τέραος μεγάλοιο
Σκορπίου, ἄγχι νότοιο, Θυτήριον αἰωρεῖται.
τοῦ δ' ἤτοι ὀλίγον μὲν ἐπὶ χρόνον ὑψόθ' ἐόντος
πεύσεαι· ἀντιπέρην γὰρ ἀείρεται Ἀρκτούροιο.
καὶ τῷ μὲν μάλα πάγχυ μετήοροί εἰσι κέλευθοι
Ἀρκτούρῳ, τὸ δὲ θᾶσσον ὑφ' ἑσπερίην ἅλα νεῖται.
ἀλλ' ἄρα καὶ περὶ κεῖνο Θυτήριον ἀρχαίη Νὺξ,
ἀνθρώπων κλαίουσα πόνον, χειμῶνος ἔθηκεν
εἰναλίου μέγα σῆμα. κεδαιόμεναι γὰρ ἐκείνῃ
νῆες ἀπὸ φρενός εἰσι· τὰ δ' ἄλλοθεν ἄλλα πιφαύσκει
σήματ', ἐποικτείρουσα πολυῤῥοθίους ἀνθρώπους.
τῷ μή μοι πελάγει νεφέων εἰλυμένον ἄλλων
εὔχεο μεσσόθι κεῖνο φανήμεναι οὐρανῷ ἄστρον,
αὐτὸ μὲν ἀνέφελόν τε καὶ ἀγλαόν, ὕψι δὲ μᾶλλον
κυμαίνοντι νέφει πεπιεσμένον, οἷά τε πολλὰ

391. μέσοι F, μεσσόθι CI. σφέων CI: * σφῶν.
393. οἴκτιστ' ὀλίγη I. 394. κιδναμένου DEFHKLMN: σκιδναμένου. 395. ἐρειδόμενοι EG. φέρονται N. 396. οὔτι τι D
τε τι
οὔτε τοι EGHKMN, οὔτ' ἔτι I, οὔτι τοι B: οὔτε — 397 μὲν om F. ἀπήωροι HIN. οὔτε AI: * οὐδὲ. 397. ποσσὶ D.
γε
399. πάντες A. γε μὲν] μὲν FGHKM, μέντ' EN, μέν τ' B.
400. ἐπὶ I. 401 om K. ἄγνωτοι Grotius: δεινωτοὶ ACF
οι
HM, * δινωτοὶ. κύκλω B. 402. ἐπ' I. κέραος D.
403. ἀγχινότοιο DHK. 404. δή τοι C. μὲν] Stephanus περὶ
406. πάγχυ] πάνυ I, πολλὰ C. μετήωροί IN, μετέωροί K.
408. κείνω K. ἀρχαίη — 409 πόνον om F. 410. εἰναλίου ACGHIL: * εἰνάλιον. κεδαινόμεναι G. ἐκεῖναι K.
411. ἄπο ACDGK. ἄλλα πιφάσκει ABDEGLN, ἀλλ' ἐπι-
ο υ
φάσκει K. 412. παλιρροθίους L, παλιῤῥοθίους corr E, περιῤῥοθίους AC, περὶ ῥοθίους I. 413. μοι] τοι L. εἰλυμένον
ω
AHMN: ειλυμένον BEI, εἰλυμένων DFGK, εἰλυμένος L, * εἰλυμμένον. ἀχλυῖ Vossius. 414. φανήμεναι AGIL: φαείμεναι D, * φαή-
οῦ ον
μεναι. οὐράνω B, οὐρανοῦ G, ἐν οὐρανῶ C. ἄστρα B, ἄστρα EN, ἄστρων G. 415. ἀννέφελον DL.

θλίβετ' ἀναστέλλοντος ὀπωρινοῦ ἀνέμοιο.
πολλάκι γὰρ καὶ τοῦτο νότῳ ἔπι σῆμα τιτύσκει
νὺξ αὐτή, μογεροῖσι χαριζομένη ναύτῃσιν.
οἱ δ' εἰ μέν κε πίθωνται ἐναίσιμα σημαινούσῃ,
αἶψά τε κοῦφά τε πάντα καὶ ἄρτια ποιήσωνται,
αὐτίκ' ἐλαφρότερος πέλεται πόνος· εἰ δέ κε νηΐ
ὑψόθεν ἐμπλήξῃ δεινὴ ἀνέμοιο θύελλα
αὔτως ἀπρόφατος, τὰ δὲ λαίφεα πάντα ταράξῃ,
ἄλλοτε μὲν καὶ πάμπαν ὑπόβρυχα ναυτίλλονται,
ἄλλοτε δ', αἴ κε Διὸς παρανισσομένοιο τύχωσιν
εὐχόμενοι, βορέω δὲ παρατρέψῃ ἀνέμου ἴς,
πολλὰ μάλ' ὀτλήσαντες ὅμως πάλιν ἐσκέψαντο
ἀλλήλους ἐπὶ νηΐ. νότον δ' ἐπὶ σήματι τούτῳ
δείδιθι, μέχρι βορῆος ἀπαστράψαντος ἴδηαι.
εἰ δέ κεν ἑσπερίης μὲν ἁλὸς Κενταύρου ἀπείη
ὦμος ὅσον προτέρης, ὀλίγη δέ μιν εἰλύοι ἀχλύς
αὐτόν, ἀτὰρ μετόπισθεν ἐοικότα σήματα τεύχοι
νὺξ ἐπὶ παμφανόωντι Θυτηρίῳ, οὔ σε μάλα χρὴ
ἐς νότον, ἀλλ' εὔροιο περισκοπέειν ἀνέμοιο.
Δήεις δ' ἄστρον ἐκεῖνο δύω ὑποκείμενον ἄλλοις·
τοῦ γάρ τοι τὰ μὲν ἀνδρὶ ἐοικότα νειόθι κεῖται
Σκορπίου, ἱππούραια δ' ὑπὸ σφίσι Χηλαὶ ἔχουσιν.

417. θλίβετ' ἀναστέλλοντος ACDHILM: θλίβεται ἀντέλλοντος E, * θλίβετ' ἀνατέλλοντος. ἀνέμοιο AI: * βορέαο. 419. αὕτη A. ναύταισι A. 420. καὶ (ε) F. πείθονται AFGHK. ἐναίσια G, αἰνέσιμα AD. 421. αἶψα δὲ I. ποιήσονται BEFGHIKN. 423. ἐμπλήξει ACD. 424. ἀπρόσφατος AK, ἀπόφατος N. τὰ om I. ταράξει (η) F, ταράξει D, τινάξῃ A, τινάξει I. 426. εἴκε G. παρανισομένοιο DI, παρανεισομένοιο L, παρανησομένοιο A, παραννσσομένοιο G. 427. βορέου A. δὲ] δ' ἴς GK. παρατρέψῃ BEFL: παραστρέψῃ DGM, παραστρέψει C, παραστρέψειε I, παραστράψῃ AK, * παρατρέψει. ἀνέμου ἴς A: ἀνέμοιο CDEFHKMN, ἀνέμοιο ἴς BG, ἴς ἀνέμοιο I, ἰὸ ἀνέμοιο L. 428. μάλα τλήσαντες AD. ὁμῶς CI, ὅπως D. 429. νηῒ AI: * νῆα. 430. βορείου A. ἀποστρέψαντος I, ἀποστρέψοντος A. 431. ἐπείη D, ἀπήει I. 432. δέ μιν] γέ μεν D. εἱλύει GK, εἱλύῃ A. 433. αὐτὰρ F. τεύχει CGI. 434. οὗ] ὧ C. μάλα σε E. 435. περισκοπεύειν BDEFGKMN, πέρι σκοπεύειν HL. 436. ἐκεῖνο om D. δύω δ' D, δύο HKN. ἄλλοις] ἄστροις A, ὤμοις BFHN. 437. γάρ τοι] δ' ἤτοι I. τὰ om C. ἐφεοικότα K. 438. ἱππούρεια D, ὑπούραια EN, ὑπάραια K. δ' om BFHN. χεῖλε' D et γρ M. ἄγουσιν I.

αὐτὰρ ὁ δεξιτερὴν αἰεὶ τανύοντι ἔοικεν
ἀντία δινωτοῖο Θυτηρίου. ἐν δέ οἱ ἀπρὶξ
ἄλλο μάλ' ἐσφήκωται, ἐληλάμενον διὰ χειρός,
Θηρίον· ὣς γάρ μιν πρότεροι διεφημίξαντο.
    Ἀλλ' ἔτι γάρ τε καὶ ἄλλο περαιόθεν ἕλκεται ἄστρον·
Ὕδρην μιν καλέουσι. τὸ δὲ ζώοντι ἐοικὸς
ἠνεκὲς εἰλεῖται, καί οἱ κεφαλὴ ὑπὸ μέσσον
Καρκίνον ἱκνεῖται, σπείρη δ' ὑπὸ σῶμα Λέοντος·
οὐρὴ δὲ κρέμαται ὑπὲρ αὐτοῦ Κενταύροιο.
μέσσῃ δὲ σπείρῃ Κρητήρ, πυμάτῃ δ' ἐπίκειται
εἴδωλον Κόρακος σπείρην κόπτοντι ἐοικός.
    Καὶ μὴν καὶ Προκύων Διδύμοις ὕπο καλὰ φαείνει.
    Ταῦτά κε θηήσαιο παρερχομένων ἐνιαυτῶν
ἑξείης παλίνωρα· τὰ γὰρ καὶ πάντα μάλ' αὔτως
οὐρανῷ εὖ ἐνάρηρεν ἀγάλματα νυκτὸς ἰούσης.
    Οἱ δ' ἐπιμὶξ ἄλλοι πέντ' ἀστέρες, οὐδὲν ὁμοῖοι,
πάντοθεν εἰδώλων δυοκαίδεκα δινεύονται.
οὐκ ἂν ἔτ' εἰς ἄλλους ὁρόων ἐπιτεκμήραιο
κείνων, ᾗχι κέονται, ἐπεὶ πάντες μετανάσται.
μακροὶ δέ σφεών εἰσιν ἑλισσομένων ἐνιαυτοί,
μακρὰ δὲ σήματα κεῖται ἀπόπροθεν εἰς ἓν ἰόντων.
οὐκέτι θαρσαλέος κείνων ἐγὼ ἄρκιος εἴην
ἀπλανέων τά τε κύκλα τά τ' αἰθέρι σήματ' ἐνισπεῖν.
    Ἤτοι μὲν τάγε κεῖται ἀλίγκια δινωτοῖσιν,
τέσσαρα, τῶν κε μάλιστα ποθὴ ὄφελός τε γένοιτο

439. δεξιτερῇ D. 440. δεινωτοῖο ACFHM.
441. ἄλλοτε I. μάλ'] μὲν C. ἐληλαμένον BLN.
442. πρότεροι CDGIKLM et mg B: * πρότερον. διεφημίξαντο I: * ἐπεφημίξαντο. 443. τε καὶ C: καὶ ἔτ' I, * καί. Buttmannus καὶ ἐπ'. 444. ὕδρη E, ὕδρηιόν F. μὲν D. ζώωντι A. 445. εἰνεκὲς I. 446. εἰλεῖται I. 447. δὲ om F.
448. κρατήρ B. 450. καὶ μὴν pr H: * ναὶ μήν. φαίνει H.
451. τε A. 452. καὶ om GIK. 453. ἐν οὐρανῷ ἄρηρεν G, ἐν οὐρανῷ εὖ ἄρηρεν K, οὐρανῷ εὖ ἐνήραρεν D. 457. κείνων C:
ων
κείνους I, * κείνους. νέονται I. μετανασιάται I.
458. ἐνιαυτῶν AD. 460. οὐδέτι BCDEFHILMN. θαρσαλέως ABDEFHLMN. 461. ἀπλανέοντά BEFHN et pr M. τε] κε K. ἐνισπεῖν K. 462. τάδε I. δεινωτοῖσι AM.
463. καὶ AM.

μέτρα περισκοπέοντι κατανομένων ἐνιαυτῶν.
σήματα δ' εὖ μάλα πᾶσιν ἐπιῤῥήδην περίκειται
πολλά τε καὶ σχεδόθεν πάντῃ συνεεργμένα πάντα.
αὐτοὶ δ' ἀπλατέες καὶ ἀρηρότες ἀλλήλοισιν
πάντες· ἀτὰρ μέτρῳ γε δύω δυσὶν ἀντιφέρονται.
Εἴ ποτέ τοι νυκτὸς καθαρῆς, ὅτε πάντας ἀγαυοὺς
ἀστέρας ἀνθρώποις ἐπιδείκνυται οὐρανίη νύξ,
οὐδέ τις ἀδρανέων φέρεται διχόμηνι σελήνῃ,
ἀλλὰ τάγε κνέφαος διαφαίνεται ὀξέα πάντα, —
εἴ ποτέ τοι τῆμόσδε περὶ φρένας ἵκετο θαῦμα
σκεψαμένῳ πάντῃ κεκεασμένον εὐρέϊ κύκλῳ
οὐρανόν, ἤ καί τίς τοι ἐπιστὰς ἄλλος ἔδειξεν
κεῖνο περιγληνὲς τροχαλόν, Γάλα μιν καλέουσιν.
τῷ δ' ἤτοι χροιὴν μὲν ἀλίγκιος οὐκέτι κύκλος
δινεῖται, τὰ δὲ μέτρα τόσοι πισύρων περ ἐόντων
οἱ δύο, τοὶ δέ σφεων μέγα μείονες εἰλίσσονται.
Τῶν ὁ μὲν ἐγγύθεν ἐστὶ κατερχομένου βορέαο.
ἐν δέ οἱ ἀμφότεραι κεφαλαὶ Διδύμων φορέονται,

464. κατανομένων *CDM*: καταννμένων *I*, κατανιμένων mg *B*, καταννομένων *AGK*, ἀννομένων *L*, πλανωμένων *FH*, πλανωμενάων *EN*. 465. σηματ' εὖ *K*, σήματά τ' εὖ *G*. περίκεινται *DGHK*, ἐπίκειται *IL*. 466. συνηργμένα *K*, συνεερμένα Buttmannus. 467. ἀπλατέες Vindobon. cum Hipparcho: mei ἀπλανέες. 468. αὐτὰρ *G*. γε om *D*. 469. ὅτι *BEFN*. 471. φαίνεται *GIK*. διχόμηνι *AGK*: * νεόμηνι. 472. γ' ἐκ νέφεος *AI*, γ' ἐκ νεφέων *C*. 473. τῆμόσδε *K*, τῆμος *A*: * τῆμος δὲ. ἵκοιτο *K*. 474. κεκασμένω *D*, κεκασμένον *ACGIK*, κεκαασμένον *L*. 475. εἰ *C*. τοι] τοῦτο *C*. ἐπιστὰς *I*: * ὑποστὰς. 476. κεῖνος *E*. περιγληφες *C*. μοι *A*. 477. δ' ἤτοι *I*: * δήτοι. μὲν om *F*. 478. εἱλεῖται *G*. τόσα γρ *B*. πιτύρων *A*. 479. μέγα μείνοννες *F*, μέγ' ἀμείνονες *BEHKMN*, μὲν ἀμείνονες *C*. 480. ὁ om *AC*. versuum 481—96 loco hos habet *L* cum Barberino et Bodleiano:

ἐν δέ οἱ ἑσπομένου Διδύμων τὸ μέσον καθορᾶται,
ἐν δέ τοι Ὑάδες, ἃς ἀνέχει λοφιῆς ἔπι Ταῦρος.
γλωχὶν Πληϊάδων, ἥγ' ἐς βορέην σκοπιάζει.
ἰχθύος αὖ κεφαλὴ βορεωτέρου ἐστὶν ἐν αὐτῷ.
Ἀνδρομέδης κεφαλὴν δὲ καὶ Ὀρνίθειον ἀθρήσεις
ῥάμφος ὑπὲρ κύκλοιο βορειοτέρης ἐπὶ χώρης,
μικρὰ βορειοτέρης, καὶ ἀπόστασιν ἄμφω ἐς ἴσην.
ἐς μέσον ἀμφοτέρων δ' Ἵππου γόνυ μᾶλλον ἐκείνων
ἀγχιτρόχου κέκλιται καὶ μικροῦ δεῖν ἐν ἐκείνῳ.
τοῦ τ' ἐν γούνασι δεξιτερὸς διατέμνεται ὦμος
καὶ πολυπλεθροτάτου μυκτὴρ ὄφεως Ὀφιούχου,
αὐτοῦ τ' Ἀρκτούρου ἀριδείκετος ἐς πόλον ἀστήρ,

Digitized by Google

ἐν δέ τε γούνατα κεῖται ἀρηρότος Ἡνιόχοιο,
λαιὴ δὲ κνήμη καὶ ἀριστερὸς ὦμος ἐπ' αὐτῷ
Περσέος, Ἀνδρομέδης δὲ μέσην ἀγκῶνος ὕπερθεν
δεξιτερὴν ἐπέχει· τὸ μέν οἱ θέναρ ὑψόθι κεῖται
ἀσσότερον βορέαο, νότῳ δ' ἐπικέκλιται ἀγκών.
ὁπλαὶ δ' Ἵππειοι, καὶ ὑπαύχενον Ὀρνίθειον
ἄκρῃ σὺν κεφαλῇ, καλοί τ' Ὀφιούχεοι ὦμοι
αὐτὸν δινεύονται ἐληλάμενοι περὶ κύκλον.
ἡ δ' ὀλίγον φέρεται νοτιωτέρη, οὐδ' ἐπιβάλλει,
Παρθένος, ἀλλὰ Λέων καὶ Καρκίνος. οἱ μὲν ἄρ' ἄμφω
ἑξείης κέαται βεβλημένοι, αὐτὰρ ὁ κύκλος
τὸν μὲν ὑπὸ στῆθος καὶ γαστέρα μέχρι παρ' αἰδῶ
τέμνει, τὸν δὲ διηνεκέως ὑπένερθε χελείου
Καρκίνον, ἧχι μάλιστα διχαιόμενόν κε νοήσαις
ὀρθόν, ἵν' ὀφθαλμοὶ κύκλου ἑκάτερθεν ἴοιεν.
τοῦ μέν, ὅσον τε μάλιστα, δι' ὀκτὼ μετρηθέντος,
πέντε μὲν ἔνδια στρέφεται καθ' ὑπέρτερα γαίης,
τὰ τρία δ' ἐν περάτῃ· θέρεος δέ οἱ ἐν τροπαί εἰσιν. Gemin. p. 16, e
ἀλλ' ὁ μὲν ἐν βορέω περὶ Καρκίνον ἐστήρικται.
  Ἄλλος δ' ἀντιόωντι νότῳ μέσον Αἰγοκερῆα
τέμνει καὶ πόδας Ὑδροχόου καὶ Κήτεος οὐρήν·

αὐτὰρ ἔπειτα λεοντέη ὀσφύς, ἔπειτα δὲ χαίτη,
εἶτα δ' Ὄνων ὁ βόρειος ἐπόψια σήματα κύκλου
Καρκίνου. ἐς μῆκος γὰρ ὅλον τρόχαλος διαμείβων
δοιὰ μὲν ἐς νότον, ἓν δὲ βόρειον ἐς ἄντυγα λείπει.

482. δέ τε A: δέ τι C; * δὲ τά. ἀρηρότως AN.
484. περσέως AEFHKMN et pr B. ὕπερθεν ACG: * ὕπερθε.
486. βορέαο ACDFGHIKM: * βορέω γε. 488. ἄκρα D.
ἴοι
ὀφιούχεο CFIN, ὀφιούχεο B, ὀφιούχου οἱ G. 489. αὐτοῦ I.
οι
ἐληλαμένοι G, ἐληλαμένον B, ἐληλαμένον EN, ἐληλάμενον CFI.
490. φαίνεται AC. νοτιώτερον I. 491. ἄμ' I. 492. βεβλημένοι CI: * βεβολημένοι. ἀρ ὁ κύκλος om C. 494. διηνεκέος G. ἀπένερθε I. χειλείου D, τελείου I.
ου αις
495. καρκίνον B. κε] με K. νοήσαις ACDGI, νοήσης B, νοήσεις KM: * νοήσῃς. 496. ἰόνε C. 497. δ' C. 498. ἐνδιαστρέφεται AD. καὶ G. ὑπέρτερα ABDEFM: ὑπέρτερον I, * ὑπέρτατα. αἴης I. hunc versum post 499 collocat K.
499. ἐν τροπαί E: * ἐντροπαί. 501. νότον, γρ μέσον, L. idem αἰγοκερῆος, et deinde pro 502—6 hos:

τέμνει καὶ στροφάλιγγα μέσην ὑδροχεύμενος ὑγροῦ,
οἷς ἅμα Κήτεος οὐραῖον νοτιώτατον αἱρεῖ

Digitized by Google

ἐν δέ οἵ ἐστι Λαγωός· ἀτὰρ Κυνὸς οὐ μάλα πολλὴν
αἴνυται, ἀλλ' ὁπόσην ἐπέχει ποσίν· ἐν δέ οἱ Ἀργὼ
καὶ μέγα Κενταύροιο μετάφρενον, ἐν δέ τε κέντρον
Σκορπίου· ἐν καὶ τόξον ἀγαυοῦ Τοξευτῆρος,
τὸν πύματον καθαροῖο παρερχόμενος βορέαο
ἐς νότον ἠέλιος φέρεται, τρέπεταί γε μὲν αὐτοῦ
χειμέριος. καί οἱ τρία μὲν περιτέλλεται ὕψου
τῶν ὀκτώ, τὰ δὲ πέντε κατώρυχα δινεύονται.
Μεσσόθι δ' ἀμφοτέρων, ὅσσος πολιοῖο γάλακτος,
γαῖαν ὑποστρέφεται κύκλος διχόωντι ἐοικώς·
ἐν δέ οἱ ἤματα νυξὶν ἰσαίεται ἀμφοτέρῃσιν,
φθίνοντος θέρεος, τοτὲ δ' εἴαρος ἱσταμένοιο.
σῆμα δέ οἱ Κριὸς Ταύροιό τε γούνατα κεῖται,
Κριὸς μὲν κατὰ μῆκος ἐληλάμενος διὰ κύκλου,
Ταύρου δὲ σκελέων ὅσση περιφαίνεται ὀκλάξ.

καὶ πόδα προσθίδιον νότιόν τε θοοῖο Λαγωοῦ.
μεσσάτιός τε Κύων ἀπομείρεται ἔνθα καὶ ἔνθα.
εἶτα δ' ἀκροστόλιόν τε καὶ ἱστίον Ἀργοῦς ἄκρον
σχίζει, καὶ κεφαλὴν κόρακος βορέηνδ' ἀπολείπει.
αὐτὰρ Ὕδροιο δίεισιν ἀειρομένης ἄκρον οὐρῆς.
αὐτὰρ ἕως τ' ἔχεται, τὸν σκορπίος ἴσχει ἐν αὐτῷ
ἀστέρα παμφανόωντα. καὶ οὐδὲ σὺ τοξότα φεύγεις,
ἀλλὰ καὶ ὑμετέρην κεφαλὴν διὰ μέσσον ὁρίζει.

503. αὐτὰρ *CG*. 504. ἔχει *GK*. ἀργὼν *N*. 505. δὲ τὸ *ABDEFGHIKMN*. 506. καὶ] δὲ *K*, δὲ καὶ *D*, δὲ καὶ τὸ *G*.
δι
507. παρερχόμενος *B*, διερχόμενος *DI*, παρεχόμενον *A*.
508. εἰς *HIMN*. 510. τῶν om *A*. 512. ἐπιστρέφεται *I*. διχόωντι *GK*: * διχάοντι. 513. νυξὶ *C*. 514. τοτὲ *N*: * τότε.
pro 515—24 in *L*:

σῆμα δέ οἱ σύνδεσμος ὃς Ἰχθύας εἰς ἓν ἐλαύνει.
ἐν δὲ γένυς μεγάλη μεγακήτεος ἔπλετο Κήτευς
καὶ μέσον Ὠρίωνος, ὅπῃ ζώνη κατὰ μῆκος
ἐκτέταται, καὶ Ὕδρου πρώτη καμπὴ κρυεροῖο.
Παρθενικῆς δ' εἴδωλον ἔπειτα διάνδιχα τέμνει
λοξὸν ἀπὸ πτέρυγος λαιῆς ἄλλην ἐπὶ πέζαν.
εἶτ' ὄφεως μεγάλοιο, τὸν ἀμφοτέραις Ὀφιοῦχος
δραξάμενος κατέχει, καμπὴν πρώτην μετὰ κόρσην.
οὐρὴν δ' ἀκροτάτην καὶ δεξιὸν ἀνέρος ὦμον
οὐ πολὺ πρὸς βορέου ἀπολείπεται, ἐς μέτρα δ' ἴσα
Αἰετὸς ἐκτανύσας ὠκύπτερον. ἐς νότου οἶμον
δεξιτερὴν κύκλοιο παράπτεται. Ὑδροχόος δέ
αὐτοῦ ἔχει κεφαλὴν ἐπὶ κύκλου. τῶν νεπόδων δέ
ὃς νοτιώτερός ἐστι, διχάζεται, ἀλλ' ἐπὶ μῆκος.

516 om *A*. ἐληλαμένος *EN* et pr *B*. κύκλον *I*.
517. ὅση *HN*.

Digitized by Google

ἐν δέ τέ οἱ ζώνη εὐφεγγέος Ὠρίωνος
καμπή τ' αἰθομένης Ὕδρης· ἐνί οἱ καὶ ἐλαφρός
Κρητήρ, ἐν δὲ Κόραξ, ἐνὶ δ' ἀστέρες οὐ μάλα πολλοί
Χηλάων· ἐν τῷ δ' Ὀφιούχεα γοῦνα φορεῖται.
οὐ μὴν Αἰητοῦ ἀπομείρεται, ἀλλά οἱ ἐγγύς
Ζηνὸς ἀητεῖται μέγας ἄγγελος. ἡ δὲ κατ' αὐτόν
Ἱππείη κεφαλὴ καὶ ὑπαύχενον εἱλίσσονται.

Τοὺς μὲν παρβολάδην ὀρθοὺς περιβάλλεται ἄξων,
μεσσόθι πάντας ἔχων· ὁ δὲ τέτρατος ἐσφήκωται
λοξὸς ἐν ἀμφοτέροις, οἵ μίν ῥ' ἑκάτερθεν ἔχουσιν
ἀντιπέρην τροπικοί, μέσσος δέ ἑ μεσσόθι τέμνει.
οὔ κεν Ἀθηναίης χειρῶν δεδιδαγμένος ἀνήρ
ἄλλῃ κολλήσαιτο κυλινδόμενα τροχάλεια
τοῖά τε καὶ τόσα πάντα περισφαιρηδὸν ἑλίσσων,
ὡς τάγ' ἐναιθέρια πλαγίῳ συναρηρότα κύκλῳ
ἐξ ἠοῦς ἐπὶ νύκτα διώκεται ἤματα πάντα.
καὶ τὰ μὲν ἀντέλλει καὶ αὐτίκα νειόθι δύνει
πάντα παραβλήδην· μία δέ σφεών ἐστιν ἑκάστου
ἑξείης ἑκάτερθε κατηλυσίη τ' ἄνοδός τε.
αὐτὰρ ὅγ' ὠκεανοῦ τόσσον παραμείβεται ὕδωρ,
ὅσσον ἀπ' Αἰγοκερῆος ἀνερχομένοιο μάλιστα
Καρκίνον εἰς ἀνιόντα κυλίνδεται. ὅσσον ἁπάντῃ
ἀντέλλων ἐπέχει, τόσσον γε μὲν ἄλλοθι δύνων.
ὅσσον δ' ὀφθαλμοῖο βολὶς ἀποτείνεται αὐγῇ,

Geminus 28, b.

519. καμπὴ δ' E. ὕδρας GK. 520. ἐνὶ οἱ δ' G. 521. ὀφιούχια GK. γούνατα κεῖται I. 522. ἀπομείρεται AEGK: ἀπαμείβεται C, * ἀπαμείρεται. οἱ] μάλ' CI. 523. ταχὺς I. ἡ δὲ ABDEFGHIKN: * ἤδε. αὐτὸν CGI: * αὐτούς. 524. ὑπαύχενος E. ειλίσσεται G, εἱλίσσυιτοναι K. 525. καὶ τοὺς K. παραβολάδην I. περιτέλλεται EFHLMN. 526. τέταρτος ACDEFGHIM, τέρτατος BN. 527. ἐν om GK. ἀμφοτέροισιν G. μίν ADFGHK: μιην BEN, * μέν. ῥ' om A. 528. ἑ] οἱ I. 529. οὔ κεν CDFGIL: οὐκ ἐν AHKM, * οὐκ ἂν. ἀνὴρ δεδιδαγμένος χειρῶν BEN. 530. ἄλλην A. 532. ὣς A. ἐναιθέρια ABCDEFGHILN: ἐν αἰθέρι (erasa post ι littera) M, * ἐν αἰθερίᾳ. 533. ἐμμενὲς αἰεὶ γρ M. 534. ἀνατέλλει AG. αὐτίκα] ἀντία D. 536. κατήλυσις BEFHN, κατήλυσις ἠδ' L. 537. ὠκεανοῖο GIK. τόσον K. παραμείψεται I. 538. ἐπ' C. ἐρχομένοιο BFHMN et post lacunam E, ἀρχομένοιο D. 540. τόσον N. γε om K. 541. δ' om F. βολὶς A: βουλῆς F, * βολῆς. ἀποτείνεται αὐγῇ Buttmannus e scholiis: codices ἀποτέμνεται αὐγή.

ἑξάκις ἂν τόσση μιν ὑπεκδράμοι. αὐτὰρ ἑκάστη
ἴση μετρηθεῖσα δύω περιτέμνεται ἄστρα.
Ζωΐδιον δέ ἑ κύκλον ἐπίκλησιν καλέουσιν.
τῷ ἔνι Καρκίνος ἐστί, Λέων δ' ἐπὶ τῷ, καὶ ὑπ' αὐτὸν
Παρθένος· αἱ δ' ἐπί οἱ Χηλαὶ καὶ Σκορπίος αὐτός
Τοξευτής τε καὶ Αἰγόκερως, ἐπὶ δ' Αἰγοκερῆϊ
Ὑδροχόος· δύο δ' αὐτὸν ὑπ' Ἰχθύες ἀστερόωνται,
τοὺς δὲ μέτα Κριός, Ταῦρος δ' ἐπὶ τῷ Δίδυμοί τε.
ἐν τοῖς ἠέλιος φέρεται δυοκαίδεκα πᾶσιν
πάντ' ἐνιαυτὸν ἄγων, καί οἱ περὶ τοῦτον ἰόντι
κύκλον ἀέξονται πᾶσαι ἐπικάρπιοι ὧραι.
τοῦ δ' ὅσσον κοίλοιο κατ' ὠκεανοῖο δύηται,
τόσσον ὑπὲρ γαίης φέρεται· πάσῃ δ' ἐπὶ νυκτί
ἓξ αἰεὶ δύνουσι δυωδεκάδες κύκλοιο,
τόσσαι δ' ἀντέλλουσι. τόσον δ' ἐπὶ μῆκος ἑκάστη
νὺξ αἰεὶ τετάνυσται, ὅσον τέ περ ἥμισυ κύκλου
ἀρχομένης ἀπὸ νυκτὸς ἀείρεται ὑψόθι γαίης.
Οὔ κεν ἀπόβλητον δεδοκημένῳ ἤματος εἴη
μοιράων σκέπτεσθαι ὅτ' ἀντέλλῃσιν ἑκάστη·
αἰεὶ γὰρ τάωνγε μιῇ συνανέρχεται αὐτός
ἠέλιος. τὰς δ' ἄν κε περισκέψαιο μάλιστα
εἰς αὐτὰς ὁρόων· ἀτὰρ εἰ νεφέεσσι μέλαιναι
γίνοιντ' ἢ ὄρεος κεκρυμμέναι ἀντέλλοιεν,

542. τόσση μιν AFG et γρ M: τόσσ' ἡμὶν BN, * τόσσ' ἡμῖν: ὑπεκδράμοι D: ὑπ' ἐκθράμοι L, ὑποδράμῃ AG, * ὑποδράμοι.
543. περιτέμνεται (τεμνεται) BDEFGHIMN: περιτέλλεται L, περιτέλλεται A, περιγίνεται CK. 544. ζωϊδίων Vossius. ἑ om C.
545. δ' ἔνι GI, ἐνὶ N. δ' I, om ABDEFGHLMN: * τ'. καὶ ὑπ' αὐτὸν C: καὶ ἐπ' αὐτὸν I, μετὰ δ' αὐτὸν G, * καὶ ὑπ' αὐτοῦ. 546. οἱ] οὐ K, om F. 547. τοξευτή E.
548. δύω G. αὐτῷ G, αὐτῶ A. ὑπ' IK, om AG: * ἐπ'. ἀστερόεντες apud Plutarchum. 549. μέσα C.
δ'] τ' CN. 550. ἐν τοῖσι δ' G. δυόδεκα G. 551. ἰόντα I, ἰόντου K. 552. ἐπίκαρποι BEFIN. 553. θ' K. κύκλοιο C. δύηται ACDGHIKL: δύνται FM, * δύνηται. 554. ἐνὶ GI.
555. δυωκαιδεκάδος K. 556. τόσσα C. δ' om C. ὑπὸ I.
557. τάνυται DK. ὅσον (ὅσσον) E, ὅσσον ABKN, τόσον M, τόσσον DFHIL. τε περ] περ A, ἄρ' BEN, om D. 559. οὐκ ἂν E.
δεδοκημένον (ω) A, δεδοκημένον K. 561. συνέρχεται D, συνάρχεται K. 562. κε] καὶ A. περίσκεψαι E. 564. γίνοιντ' I: * γίνοιτ'.

Digitized by Google

σήματ' ἐπερχομένῃσιν ἀρηρότα ποιήσασθαι.
αὐτὸς δ' ἂν μάλα τοι κεράων ἑκάτερθε διδοίη
ὠκεανός, τά τε πολλὰ περιστέφεται ἑοῖ αὐτῷ,
νειόθεν ὁππῆμος κείνων φορέῃσιν ἑκάστην.
Οὐ οἱ ἀφαυρότατοι, ὅτε Καρκίνος ἀντέλλῃσιν,
ἀστέρες ἀμφοτέρωθεν ἑλισσόμενοι περίκεινται,
τοὶ μὲν δύνοντες, τοὶ δ' ἐξ ἑτέρης ἀνιόντες.
δύνει μὲν Στέφανος, δύνει δὲ κατὰ ῥάχιν Ἰχθύς.
ἥμισυ μέν κεν ἴδοιο μετήορον, ἥμισυ δ' ἤδη
ἐσχατιαὶ βάλλουσι κατερχομένου Στεφάνοιο.
αὐτὰρ ὅγ' ἐξόπιθεν τετραμμένος ἄλλα μὲν οὔπω
γαστέρι νειαίρῃ, τὰ δ' ὑπέρτερα νυκτὶ φορεῖται.
τὸν δὲ καὶ εἰς ὤμους κατάγει μογερὸν Ὀφιοῦχον
Καρκίνος ἐκ γονάτων, κατάγει δ' Ὄφιν αὐχένος ἐγγύς.
οὐδ' ἂν ἔτ' Ἀρκτοφύλαξ εἴη πολὺς ἀμφοτέρωθεν,
μείων ἠμάτιος, τὸ δ' ἐπιπλέον ἔννυχος ἤδη.
τέτρασι γὰρ μοίραις ἄμυδις κατιόντα Βοώτην
ὠκεανὸς δέχεται· ὁ δ' ἐπὴν φάεος κορέσηται,
βουλυτῷ ἐπέχει πλεῖον δίχα νυκτὸς ἰούσης,
ἦμος ὅτ' ἠελίοιο κατερχομένοιο δύηται.
κεῖναί οἱ καὶ νύκτες ἐπ' ὀψὲ δύοντι λέγονται.
ὣς οἱ μὲν δύνουσιν, ὁ δ' ἀντίος οὐδὲν ἀεικής,
ἀλλ' εὖ μὲν ζώνῃ εὖ δ' ἀμφοτέροισι φαεινός
ὤμοις Ὠρίων, ξίφεός γε μὲν ἶφι πεποιθώς,
πάντα φέρων Ποταμόν, κέραος παρατείνεται ἄλλον.
Ἐρχομένῳ δὲ Λέοντι τὰ μὲν κατὰ πάντα φέρονται
Καρκίνῳ ὅσσ' ἐδύοντο, καὶ Αἰετός. αὐτὰρ ὅγε γνύξ

565. ἐπερχομένῃσιν *ADGK*: * ἐπερχομένοισιν. 566. μάλιστά *D*. 567. περιστέφεται Buttmannus e scholiis: codices περιστρέφεται. ἔοι *N*, οἱ *I*. 568. ὀπτῆμος *ABCEFHN*. ἑκάστη *C*. 569. ἀνατέλλησιν *K*. versum hunc om *C*. 572. καταρράχιν *DI*. 573. ἴδηαι *BDEFHMN*. ἤδη] αὖτε *I*. 575. ὁ Γνὺξ ὄπιθεν Vossius. ἐξόπισθε *AFHK*, ἐξόπισθεν *IN*. 576. ὑπέρτατα *I*. 581. ἄμυδις *CG*: ἅμυδις *IKL*, * ἤδη. 582. κορέσσηται *M*. 583. δ' ἐπέχει *C*. πλέον *K*. διχὰ *N*. 584. ὁπότ' *FHM*. ἠέλιος *D*. δύνηται *C*. 585. οἱ *I*: * τοι. καὶ om *F*. ἐποψὲ *ABEFGN*. 586. ὧς *ABFG*: * ὡς. 587. ζώνην *C*. pro φαεινὸς lacuna in *I*. 590. ἀρχομένῳ *L*. 591. ἀετὸς *DGK*. νὺξ *CIL*. post hunc versum *C*: ἡ παρθένος πᾶσα ἀνατέλλῃ.

Digitized by Google

ἥμενος ἄλλα μὲν ἤδη, ἀτὰρ γόνυ καὶ πόδα λαιὸν
οὔπω κυμαίνοντος ὑποστρέφει ὠκεανοῖο.
ἀντέλλει δ' Ὕδρης κεφαλὴ χαροπός τε Λαγωὸς
καὶ Προκύων πρότεροί τε πόδες Κυνὸς αἰθομένοιο.
Οὐ μὲν θὴν ὀλίγους γαίης ὑπὸ νείατα βάλλει
Παρθένος ἀντέλλουσα. Λύρη τότε Κυλληναίη
καὶ Δελφὶς δύνουσι καὶ εὐποίητος Ὀϊστός.
σὺν τοῖς Ὄρνιθος πρῶτα πτερὰ μέσφα παρ' αὐτὴν
οὐρὴν καὶ Ποταμοῖο παρηορίαι σκιόωνται.
δύνει δ' Ἱππείη κεφαλή, δύνει δὲ καὶ αὐχήν.
ἀντέλλει δ' Ὕδρη μὲν ἐπιπλέον ἄχρι παρ' αὐτὸν
Κρητῆρα. φθάμενος δὲ Κύων πόδας αἴνυται ἄλλους,
ἕλκων ἐξόπιθεν πρύμνην πολυτειρέος Ἀργοῦς.
ἡ δὲ θέει γαίης ἱστὸν διχόωσα κατ' αὐτόν,
Παρθένος ἦμος ἅπασα περαιόθεν ἄρτι γένηται.
Οὐδ' ἂν ἐπερχόμεναι Χηλαὶ καὶ λεπτὰ φάουσαι
ἄφραστοι παρίοιεν, ἐπεὶ μέγα σῆμα Βοώτης
ἀθρόος ἀντέλλει βεβολημένος Ἀρκτούροιο.
Ἀργὼ δ' αὖ μάλα πᾶσα μετήορος ἵσταται ἤδη·
ἀλλ' Ὕδρη (κέχυται γὰρ ἐν οὐρανῷ ἤλιθα πολλή)
οὐρῆς ἂν δεύοιτο. μόνην δ' ἐπὶ Χηλαὶ ἄγουσιν
[δεινὸν ἐφεστηῶτ' Ὀφιούχεα· τοῦ μὲν ἔπειτα]
δεξιτερὴν κνήμην, αὐτῆς ἐπιγουνίδος ἄχρις,
αἰεὶ γνύξ, αἰεὶ δὲ Λύρη παραπεπτηῶτος,
ὅντινα τοῦτον ἄϊστον ὑπουρανίων εἰδώλων,
ἀμφότερον δύνοντα καὶ ἐξ ἑτέρης ἀνιόντα
πολλάκις αὐτονυχὶ θηεύμεθα. τοῦ μὲν ἄρ' οἴη

592. ἥμερος B, ἥμερος N. αὐτὰρ DG. 593. ὑποστρέφει B, ἐπιστρέφει D. 595. πότεροι C. 596. ὑπονείατο K. 597. κυληναίη ABFGHKMN. 599. πτερὰ om K. μέσφα ACDFGHIKLM: * μέσφι. 603. κρατῆρα K. 604. ἐξόπισθεν IK. 604. πρύμνην I: πρυμνης C, * πρύμναν. 607. καὶ om FHKLN et pr B. φαίνουσαι AGK. 608. μέγα] δὴ A. 609. ἀντέλλοι I, ἀνατέλλει K. 610. αὖ Vossius: codices οὐ. πᾶσα μάλα EFHN et pr B. ἵσταται I: * ἕσσεται. 612. μόνην ACFGHIKM: * μόνον. 613 om CFHKM cum Hipparcho, scholiasta, interpretibus Latinis. ἐφεστηῶτ' ABEGILN: * ἀφεστηῶτ'. 614 ἄχρι L. 615. νὺξ C. δὲ] δὲ πρὸς G. λυρην GK. παραπεπτηῶτα C. 616. ἐπουρανίων DGIL, ὑπ' οὐρανίων KM. 618. αὐτονυχὶ C: αὐτονυχθεὶ A, * αὐτονυχεί.

Digitized by Google

κνήμη σὺν Χηλῇσι φαείνεται ἀμφοτέρῃσιν·
αὐτὸς δ' ἐς κεφαλὴν ἔτι που τετραμμένος ἄλλῃ
Σκορπίον ἀντέλλοντα μένει καὶ ῥύτορα Τόξου·
οἵ γάρ μιν φορέουσιν, ὁ μὲν μέσον ἄλλα τε πάντα,
χεῖρα δέ οἱ σκαιὴν κεφαλήν θ' ἅμα Τόξον ἀγινεῖ.
ἀλλ' ὁ μὲν ὣς τρίχα πάντα καταμελεϊστὶ φορεῖται·
ἥμισυ δὲ Στεφάνοιο καὶ αὐτὴν ἔσχατον οὐρὴν
Κενταύρου φορέουσιν ἀνερχόμεναι ἔτι Χηλαί.
τῆμος ἀποιχομένην κεφαλὴν μεταδύεται Ἵππος,
καὶ πρατέρου Ὄρνιθος ἐφέλκεται ἔσχατος οὐρή.
δύνει δ' Ἀνδρομέδης κεφαλή· τὸ δέ οἱ μέγα δεῖμα
Κήτεος ἠερόεις ἐπάγει νότος· ἀντία δ' αὐτὸς
Κηφεὺς ἐκ βορέω μεγάλῃ ἀνὰ χειρὶ κελεύει.
καὶ τὸ μὲν ἐς λοφιὴν τετραμμένον ἄχρι παρ' αὐτὴν
δύνει, ἀτὰρ Κηφεὺς κεφαλῇ καὶ χειρὶ καὶ ὤμῳ.
Καμπαὶ δ' ἂν Ποταμοῖο καὶ αὐτίκ' ἐπερχομένοιο
Σ κ ο ρ π ί ο υ ἐμπίπτοιεν ἐϋῤῥόου ὠκεανοῖο·
ὃς καὶ ἐπερχόμενος φοβέει μέγαν Ὠρίωνα.
Ἄρτεμις ἱλήκοι· προτέρων λόγος, οἵ μιν ἔφαντο
ἑλκῆσαι πέπλοιο, Χίῳ ὅτε θηρία πάντα
καρτερὸς Ὠρίων στιβαρῇ ἐπέκοπτε κορύνῃ,
θήρης ἀρνύμενος κείνῳ χάριν Οἰνοπίωνι.
ἡ δέ οἱ ἐξαυτῆς ἐπετείλατο θηρίον ἄλλο,
νήσου ἀναῤῥήξασα μέσας ἑκάτερθε κολώνας,
σκορπίον, ὅς ῥά μιν οὖτα καὶ ἔκτανε πολλὸν ἐόντα
πλειότερος προφανείς, ἐπεὶ Ἄρτεμιν ἤκιχεν αὐτήν.
τοὔνεκα δὴ καὶ φασι περαιόθεν ἐρχομένοιο
Σκορπίου Ὠρίωνα περὶ χθονὸς ἔσχατα φεύγειν.

621. ἀνατέλλοντα *K.* ῥυτῆρα *F.* 623. χειρὶ δὲ σκαιῇ *C.* κεφαλήν *I:* * κεφαλῇ. θ' om *ADGK.* 624. καταμμελεϊστὶ *L.* 627. ἐποιχομένην *I.* μετὰ δύεται *C*, μεταδεύεται *I.* 628. προτέρῃ *E.* ἀφέλκεται *K.* 629. δεῖγμα *CI.* 630. ἀπάγει *D.* αὐτὸν *E.* 631. ἐκ] ἐν *ADEGHLMN.* κελεύει *CK:* * κελεύων. *I* quid habeat, non liquet. 632. εἰς *IN.* αὐτῶν *K.* 633. αὖταρ *AG.* κηφέος *I.* 635. σκορπίον *K.* 637. ποτέρων *A.* λόγοις *K*, λόγων *I.* 638. ἑλκύσαι *CG*, ἑλκῦσαι *IKL.* 640. θήρην *E.* 641 ἐπετείλατο Vossius e scholio: ἐπεστείλατο *I*, ἐτείνατο *K*, * ἐπετείνατο. ἄλλο θηρίον *K.* 642. κολώνης *E.* 643. ὄντα *A.* πολλέοντα *D.* 645. καὶ om *C.* ἐρχομένοιο *CG:* * ἀρχομένοιο.

Digitized by Google

οὐδὲ μὲν Ἀνδρομέδης καὶ Κήτεος ὅσσ' ἐλέλειπτο
κείνου ἔτ' ἀντέλλοντος ἀπευθέες, ἀλλ' ἄρα καὶ τοί
πασσυδίῃ φεύγουσιν· ὁ δὲ ζώνῃ τότε Κηφεύς
γαῖαν ἐπιξύει, τὰ μὲν ἐς κεφαλὴν μάλα πάντα
βάπτων ὠκεανοῖο, τὰ δ' οὐ θέμις, ἀλλὰ τάγ' αὐταί
Ἄρκτοι κωλύουσι, πόδας καὶ γοῦνα καὶ ἰξύν.
ἡ δὲ καὶ αὐτὴ παιδὸς ἐπείγεται εἰδώλοιο
δειλὴ Κασσιέπεια· τὰ δ' οὐκέτι οἱ κατὰ κόσμον
φαίνεται ἐκ δίφροιο, πόδες καὶ γούναθ' ὕπερθεν,
ἀλλ' ἥγ' ἐς κεφαλὴν ἴση δύετ' ἀρνευτῆρι
μειρομένη γονάτων, ἐπεὶ οὐκ ἄρ' ἔμελλεν ἐκείνη
Δωρίδι καὶ Πανόπῃ μεγάλων ἄτερ ἰσώσασθαι.
ἡ μὲν ἄρ' εἰς ἑτέρην φέρεται· τὰ δὲ νειόθεν ἄλλα
οὐρανὸς ἀντιφέρει, Στεφάνοιό τε δεύτερα κύκλα
Ὕδρης τ' ἐσχατιήν· φορέει τ' ἔπι Κενταύροιο
σῶμά τε καὶ κεφαλήν, καὶ Θηρίον ὅ ῥ' ἐνὶ χειρί
δεξιτερῇ Κένταυρος ἔχει. τοὶ δ' αὖθι μένουσιν
Τόξον, ἐπερχόμενον πρότεροι πόδες ἱππότα φηρός.
Τόξῳ καὶ σπείρῃ Ὄφιος καὶ σῶμ' Ὀφιούχου
ἀντέλλει ἐπιόντι· καρήατα δ' αὐτὸς ἀγινεῖ
Σκορπίος ἀντέλλων, ἀνάγει δ' αὐτὰς Ὀφιούχου
χεῖρας καὶ προτέρην Ὄφιος πολυτειρέα ἀγήν.
Τοῦ γε μὲν Ἐγγόνασιν (περὶ γὰρ τετραμμένος αἰεί
ἀντέλλει) τότε μὲν περάτης ἐξέρχεται ἄλλα,
γυῖά τε καὶ ζώνη καὶ στήθεα πάντα καὶ ὦμος
δεξιτερῇ σὺν χειρί. κάρη δ' ἑτέρης μετὰ χειρός

647. οὐδ' ἔμεν' Buttmannus. 648. ἔτ' *G*: * δ'. ἀπευθέες, ἀλλ'] · ἀπευθέες ἀλλ' Buttmannus. καὶ τοὶ *HLMN*: * καί τοι. 649. πασσυδίη *L*: * πανσυδίῃ. 650. ἐς *D*: * εἰς. 655. πόδας *D*. γούναθ' *BDFGHLMN*: γούνατα *A*, * χεῖρες. 656. δύεται *ABE*, δύηται *D*. 658. μεγάλω *K*. ἄτερ *H*, qui ita solet. 659. νειόθεν ἄλλα *C* et γρ *L*: * νειόθι μᾶλλον. 661. φορέοι τ' *BEFGHMN*, φορέοντ' *L*. 662. ὅρρ' *C*. ἐν (οι) *AMN*. 664. ἐπερχόμενον *B*, ἐπερχόμενοι *CDK*. ἱππότα θηρὸς (θ above φ) *A*, ἱππότα θηρὸς (φ above θ) *C*, ἱππόφηρος *M*. Vossius ἱπποτόφηρος, Buttmannus ἱπποτόθηρος. 665. ὄφεως *AGK*. 666. αὐτὸς] αἰγὸς *G*. 667. ἀνατέλλων *G*, om *C*. αὐτὸς *CK*. ἰφιούχου *C*. 668. ὄφιος *ABDEFG*: ὄφεως *K*, * ὄφεος. ἀγήν (περίκλισιν above) *L*: * αὐγήν. 669. μὴν *D*. ἐν γούνασι *HM*. 670. τάτε *A*. περάτις *D*. ἅλὸς *L*. 671. ὦμοι *C*.

Digitized by Google

679. 685. 689. 713. 721.

τόξῳ ἀνέρχονται καὶ Τοξότῃ ἀντέλλοντι.
σὺν τοῖς Ἑρμαίῃ τε Λύρῃ καὶ στήθεος ἄχρις
Κηφεὺς ἠῴου παρελαύνεται ὠκεανοῖο,
ἦμος καὶ μεγάλοιο Κυνὸς πᾶσαι ἀμαρυγαὶ
δύνουσιν, καὶ πάντα κατέρχεται Ὠρίωνος,
πάντα γε μὴν ἀτέλεστα διωκομένοιο Λαγωοῦ.
ἀλλ' οὐχ Ἡνιόχῳ Ἔριφοι οὐδ' Ὠλενίη Αἴξ
εὐθὺς ἀπέρχονται· τὰ δέ οἱ μεγάλην ἀνὰ χεῖρα
λάμπονται, καί οἱ μελέων διακέκριται ἄλλων
κινῆσαι χειμῶνας, ὅτ' ἠελίῳ συνίωσιν.
Ἀλλὰ τὰ μέν, κεφαλήν τε καὶ ἄλλην χεῖρα καὶ ἰξύν,
Αἰγόκερως ἀνιὼν κατάγει· τὰ δὲ νείατα πάντα
αὐτῷ Τοξευτῆρι κατέρχεται. οὐδέ τι Περσεύς,
οὐδέ τι ἄκρα κόρυμβα μένει πολυτειρέος Ἀργοῦς.
ἀλλ' ἤτοι Περσεὺς μὲν ἄτερ γουνός τε ποδός τε
δεξιτεροῦ δύεται, πρύμνης δ' ὅσον ἐς περιαγήν·
αὐτὴ δ' Αἰγοκερῆϊ κατέρχεται ἀντέλλοντι,
ἦμος καὶ Προκύων δύεται, τὰ δ' ἀνέρχεται ἄλλα,
Ὄρνις τ' Αἰητός τε, τά τε πτερόεντος Ὀϊστοῦ
τείρεα, καὶ νοτίοιο Θυτηρίου ἱερὸς ἕδρη.
Ἵππος δ' Ὑδροχόοιο νέον περιτελλομένοιο
ποσσί τε καὶ κεφαλῇ ἀνελίσσεται· ἀντία δ' Ἵππου
ἐξ οὐρῆς Κένταυρον ἐφέλκεται ἀστερίη νύξ.
ἀλλ' οὔ οἱ δύναται κεφαλὴν οὐδ' εὐρέας ὤμους
αὐτῷ σὺν θώρηκι χαδεῖν. ἀλλ' αἴθοπος Ὕδρης
αὐχενίην κατάγει σπεῖρην καὶ πάντα μέτωπα.
ἡ δὲ καὶ ἐξόπιθεν πολλὴ μένει· ἀλλ' ἄρα καὶ τήν
αὐτῷ Κενταύρῳ, ὁπότ' Ἰχθύες ἀντέλλωσιν,
ἀθρόον ἐμφέρεται. ὁ δ' ἐπ' Ἰχθύσιν ἔρχεται Ἰχθύς
αὐτῷ κυανέῳ ὑποκείμενος Αἰγοκερῆϊ·

673. ἐνέρχονται *D.* τόξα *K.* ἀνατέλλοντι *AK.* 674. τε] γε *E*, om *BN.* 677. δύνουσιν *E.* 678. τε Buttmannus.
681—692 om *C.* 687. γόνυός *ACN.* 688. δ'] θ' *GK*, om *D.* περιαυγὴν *D*, περιατὴν *K.* 691. θ' *KM*, τ' ἠδ' *L.* ἀετός *L.* 692. νοτίοιο *E* et corr *B*: * νοτίου. ἱερὰ *A.*
693. ὑδριχόοιο *HM.* 694. ἀντίου *A.* 695. ἀστερίη] οὐρανίη *L.* 696. οὐδ'] ἠδ' *K*, ἡ δ' *G.* 697. θώρακι *BK.*
699. ἐξόπισθεν *K.* 700. ἀνατέλλωσιν *K.* 701. ἀθρόος *E*, ἀθρόου *L*, 702. κυανέων *L.*

Digitized by Google

*οἱ μὲν ἄδην, ὀλίγον δὲ δυωδεκάδα μένει ἄλλην.*
*οὕτω καὶ μογεραὶ χεῖρες καὶ γοῦνα καὶ ὦμοι*
*Ἀνδρομέδης δίχα πάντα, τὰ μὲν πάρος ἄλλα δ' ὀπίσσω*
*τείνεται, ὠκεανοῖο νέον ὁπότε προγένωνται*
*Ἰχθύες ἀμφότεροι. τὰ μὲν οἱ κατὰ δεξιὰ χειρός*
*αὐτοὶ ἐφέλκονται, τὰ δ' ἀριστερὰ νειόθεν ἕλκει*
*Κριὸς ἀνερχόμενος. τοῦ καὶ περιτελλομένοιο*
*ἑσπερόθεν κεν ἴδοιο Θυτήριον, αὐτὰρ ἐν ἄλλῃ*
*Περσέος ἀντέλλοντος ὅσον κεφαλήν τε καὶ ὤμους·*
*αὐτὴ δὲ ζώνη καί κ' ἀμφήριστα πέλοιτο*
*ἢ Κριῷ λήγοντι φαείνεται ἢ ἐπὶ Ταύρῳ,*
*σὺν τῷ πασσυδίην ἀνελίσσεται. οὐδ' ὅγε Ταύρου*
*λείπεται ἀντέλλοντος, ἐπεὶ μάλα οἱ συναρηρώς*
*Ἡνίοχος φέρεται· μοίρῃ γε μὲν οὐκ ἐπὶ ταύτῃ*
*ἀθρόος ἀντέλλει, Δίδυμοι δέ μιν οὖλον ἄγουσιν.*
*ἀλλ' Ἔριφοι λαιοῦ τε θέναρ ποδὸς Αἰγὶ σὺν αὐτῇ*
*Ταύρῳ συμφορέονται, ὅτε λοφιή τε καὶ οὐρή*
*Κήτεος αἰθερίοιο περαιόθεν ἀντέλλωσιν.*
*δύνει δ' Ἀρκτοφύλαξ ἤδη πρώτῃ τότε μοίρῃ*
*τάων, αἵ πίσυρές μιν ἄτερ χειρὸς κατάγουσιν*
*λαιῆς· ἡ δ' αὐτῷ μεγάλῃ ὑποτέλλεται Ἄρκτῳ.*
*ἀμφότεροι δὲ πόδες καταδυομένου Ὀφιούχου,*
*μέσφ' αὐτῶν γονάτων, Διδύμοις ἔπι σῆμα τετύχθω*
*ἐξ ἑτέρης ἀνιοῦσι. τότ' οὐκέτι Κήτεος οὐδέν*
*ἕλκεται ἀμφοτέρωθεν, ὅλον δέ μιν ὄψεαι ἤδη.*
*ἤδη καὶ Ποταμοῦ πρώτην ἁλὸς ἐξανιοῦσαν*

703. οὐ μὲν ADGHKL: οὐ μὴν FM, * οὔτι γ'. δυωδεκάδ' ἀμμένει ἄλλην FHM, δυώδεκα δ' ἀμμένει ἄλλην D, δυωκαιδεκάδ' ἀμμένει ἄλλην K, δυωδεκα δ' ἐμμένει ἄλλην AG, δυωδεκάδ' ἄλλην μίμνει BEN. 706. νέων D. 707. δεξιᾶς GK. 708. αὐτοὶ δ' A. 709. προτελλομένοιο C. 711. περσέως ACFHK. ἀνατέλλοντος CGK. κεφαλῆς CK. 712. αὐτήν τε ζώνην G. ἀμφήριστος K. 714. πασσυδίην L: πανσυδίην CK, * πανουδίῃ. 715. ἀνατέλλοντος K. 717. γε μὲν F, γέ μεν HL. hunc versum cum 719 et 721 om K. 718. ἐρίφου B, ἐρίφου (οι) EN. 720—721 om D. 721. τότε πρώτη EN et pr. B. 723. μεγάλης L. ἐπιτέλλεται K, ὑπερτέλλεται BDEFHMN. ἄρκτῳ (ω) ACDFGHKM: ἄρκτος B, ἄρκτου L. 724. τὲ omnes. 725. σῶμα K. 727. ὄψε καὶ C. 728. πρώτην ABEGKN: * πρώτης.

Digitized by Google

*αὐγὴν ἐν καθαρῷ πελάγει σκέψαιτό κε ναύτης,*
*αὐτὸν ἐπ' Ὠρίωνα μένων, εἴ οἵ ποθι σῆμα*
*ἢ νυκτὸς μέτρων ἠὲ πλόου ἀγγείλειεν·*
*πάντῃ γάρ τάγε πολλὰ θεοὶ ἄνδρεσσι λέγουσιν.*

## ΔΙΟΣΗΜΕΙΑ.

*Οὐχ ὁράᾳς; ὀλίγη μὲν ὅταν κεράεσσι σελήνη*
*ἑσπερόθεν φαίνηται, ἀεξομένοιο διδάσκει*
*μηνός· ὅτε πρώτη ἀποκίδναται αὐτόθεν αὐγή,*
*ὅσσον ἐπισκιάειν, ἐπὶ τέτρατον ἦμαρ ἰοῦσα·*
*ὀκτὼ δ' ἐν διχάσει, διχόμηνα δὲ παντὶ προσώπῳ.*
*αἰεὶ δ' ἄλλοθεν ἄλλα παρακλίνουσα μέτωπα*
*εἴρει ὁποσταίη μηνὸς περιτέλλεται ἠώς.*
*ἄκρα γε μὲν νυκτῶν κεῖναι δυοκαίδεκα μοῖραι*
*ἄρκιαι ἐξειπεῖν. τὰ δέ που μέγαν εἰς ἐνιαυτόν,*
*ὥρη μέν τ' ἀρόσαι νειούς, ὥρη δὲ φυτεῦσαι,*
*ἐκ Διὸς ἤδη πάντα πεφασμένα πάντοθι κεῖται.*
*καὶ μέν τις καὶ νηΐ πολυκλύστου χειμῶνος*
*ἐφράσατ' ἢ δεινοῦ μεμνημένος Ἀρκτούροιο*
*ἠέ τεων ἄλλων, οἵ τ' ὠκεανοῦ ἀρύονται*
*ἀστέρες ἀμφιλύκης, οἵ τε πρώτης ἐπὶ νυκτός.*
*ἤτοι γὰρ τοὺς πάντας ἀμείβεται εἰς ἐνιαυτόν*
*ἠέλιος, μέγαν ὄγμον ἐλαύνων, ἄλλοτε δ' ἄλλῳ*
*ἐμπελάσει, τοτὲ μέν τ' ἀνιὼν τοτὲ δ' αὐτίκα δύνων·*
*ἄλλος δ' ἀλλοίην ἀστὴρ ἐπιδέρκεται ἠῶ.*
*γινώσκεις τάδε καὶ σύ· τὰ γὰρ συναείδεται ἤδη*

729. ἀγὴν E: * καμπὴν. 731. μέτρων D: μέτρον A, * μέτρων. (ων) γ' ἠὲ BE. 732. θεοί γ' FK, θεοὶ δ' C.

733. σελήνης A. 734. ἀζομένοιο A. 735. ὅτε (ε) ὅταν A, ὅταν K, ὅτι M. πρῶτον C, πρῶτον δ' L, πρώτην K. ἀποκίδναται AC EFHKLM: ἐπικίδναται D, * ἀποσκίδναται. 736. ὅσον K. τέταρτον ADFG. ἰοῦσαν D, ἰούσῃ C. 737. διχάσει L: * διχάσι. 739. εἴρῃ D. 740. δυώδεκα FHM. 742. ὥρα δὲ L.

744. μάν F. πολυκλύστοιο (ου) B, πολυκλύσταιο ACDFGHKMN. 746. ἠὲ τεῶν A, ἢ ἐτέων CDFGHM. 747. ἐστὶ A. 748. τοὺς om C. 749. ὄγκόν C, οἶμον HLM. 750. ἐμπλήσσει BDEN, ἐμπλήσει ACFGHKLM. 751. ἐπικέρδεται M: ἠῶ H. 752. γινώσκοις G. τάδε] τάδε πάντα D, τὰ C. σοι H. τὰ om FH. συναγείρεται Buttmannus.

ἐννεακαίδεκα κύκλα φαεινοῦ ἠελίοιο,
ὅσσα τ᾽ ἀπὸ ζώνης εἰς ἔσχατον Ὠρίωνα
νὺξ ἐπιδινεῖται, Κύνα τε θρασὺν Ὠρίωνος,
οἵ τε Ποσειδάωνος ὁρώμενοι ἢ Διὸς αὐτοῦ
ἀστέρες ἀνθρώποισι τετυγμένα σημαίνουσιν.
τῶ κείνων πεπόνησο. μέλει δέ τοι, εἴ ποτε νηΐ
πιστεύεις, εὑρεῖν ὅσα που κεχρημένα κεῖται
σήματα χειμερίοις ἀνέμοις ἢ λαίλαπι πόντου.
μόχθος μέν τ᾽ ὀλίγος, τὸ δὲ μυρίον αὐτίκ᾽ ὄνειαρ
γίνετ᾽ ἐπιφροσύνης αἰεὶ πεφυλαγμένῳ ἀνδρί.
αὐτὸς μὲν τὰ πρῶτα σαώτερος, εὖ δὲ καὶ ἄλλον
παρειπὼν ὤνησεν, ὅτ᾽ ἐγγύθεν ὤρορε χειμών.
πολλάκι γάρ καί τίς τε γαληναίῃ ὑπὸ νυκτί
νῆα περιστέλλει πεφοβημένος ἦρι θαλάσσης·
ἄλλοτε δὲ τρίτον ἦμαρ ἐπιτρέχει, ἄλλοτε πέμπτον·
ἄλλοτε δ᾽ ἀπρόφατον κακὸν ἵκετο· πάντα γὰρ οὔπω
ἐκ Διὸς ἄνθρωποι γινώσκομεν, ἀλλ᾽ ἔτι πολλά
κέκρυπται, τῶν εἴ κ᾽ ἐθέλῃ καὶ ἐσαυτίκα δώσει
Ζεύς· ὁ γὰρ οὖν γενεὴν ἀνδρῶν ἀναφανδὸν ὀφέλλει
πάντοθεν εἰδόμενος, πάντῃ δ᾽ ὅγε σήματα φαίνων.
ἄλλα δέ τοι ἐρέει ἤ που διχόωσα σελήνη
πλήθουσ᾽ ἀμφοτέρωθεν ἢ αὐτίκα πεπληθυῖα,
ἄλλα δ᾽ ἀνερχόμενος, τοτὲ δ᾽ ἄκρῃ νυκτὶ κελεύων
ἠέλιος. τὰ δέ τοι καὶ ἀπ᾽ ἄλλων ἔσσεται ἄλλα
σήματα καὶ περὶ νυκτὶ καὶ ἤματι ποιήσασθαι.
Σκέπτεο δὲ πρῶτον κεράων ἑκάτερθε σελήνην.
ἄλλοτε γάρ τ᾽ ἄλλη μιν ἐπιγράφει ἕσπερος αἴγλη,

758. μέλει AC: * μέλοι. τοι om F. 759. κεχριμένα GK. 762. ἐπιφροσύνης AB, ἐπιφροσύναις G, ἐπ᾽ εὐφροσύνης D. αἰεὶ ABDEFGHLMN: * ἀεὶ. 763. τὰ om ABDEFHLMN. πρῶτον EN et pr B. δὲ om C. ἄλλον editi: ἄλλων (ω) A, * ἄλλω. 764. ὤνησας D. ὄρωρε ABDFHKMN. 765. τις om M. τε om D. 767. δὲ CGK: δὴ A, * μὲν. 768. ἀπρόφαντον C, ἂν πρόφατον K. ἵκετο om C. 770. τῶ D. κ᾽ ἐθέλῃ BDEN: κε θέλησιν L, * κε θέλῃ. καὶ om FHL. 771. οὖν om CL. post v. 772 in G deficit fol. 1½. 773. τοι ACDGHKLM: * που. εἴ A. 774. ἢ καὶ αὐτίκα D. 775. τοτὲ D: * τότε. 776. τοι (που) G, που FHLM. 777. ἤματα B, ἥματα HM, δήματα L. 778. πρώτην Vossius. σελήνη K. 779. τ᾽ om A. ἀλλ᾽ ἡμῖν C, qui hunc versum post 780 ponit.

Digitized by Google

ἄλλοτε δ' ἀλλοῖαι μορφαὶ κερόωσι σελήνην
εὐθὺς ἀεξομένην, αἱ μὲν τρίτῃ, αἱ δὲ τετάρτῃ·
τάων καὶ περὶ μηνὸς ἐφεσταότος κε πύθοιο.
λεπτὴ μὲν καθαρή τε περὶ τρίτον ἦμαρ ἐοῦσα
εὔδιός κ' εἴη, λεπτὴ δὲ καὶ εὖ μάλ' ἐρευθὴς
πνευματίη· παχίων δὲ καὶ ἀμβλείῃσι κεραίαις
τέτρατον ἐκ τριτάτοιο φόως ἀμενηνὸν ἔχουσα
ἠὲ νότῳ ἀμβλύνετ' ἢ ὕδατος ἐγγὺς ἐόντος.
εἰ δέ κ' ἀπ' ἀμφοτέρων κεράων τρίτον ἦμαρ ἄγουσα
μήτ' ἐπινευστάζῃ μήθ' ὑπτιόωσα φαείνῃ,
ἀλλ' ὀρθὰς ἑκάτερθε περιγνάμπτουσα κεραίας,
ἑσπέριοί κ' ἄνεμοι κείνην μετὰ νύκτα φέροιντο.
εἰ δ' αὔτως ὀρθὴ καὶ τέτρατον ἦμαρ ἀγινοῖ,
ἦτ' ἂν χειμῶνος συναγειρομένοιο διδάσκοι.
εἰ δέ κέ οἱ κεράων τὸ μετήορον εὖ ἐπινεύῃ,
δειδέχθαι βορέω, ὅτε δ' ὑπτιάῃσι, νότοιο.
αὐτὰρ ἐπὴν τριτόωσαν ὅλος περὶ κύκλος ἑλίσσῃ
πάντῃ ἐρευθόμενος, μάλα κεν τότε χείμερος εἴη·
μείζονι δ' ἂν χειμῶνι πυρώτερα φοινίσσοιτο.
Σκέπτεο δ' ἐς πληθύν τε καὶ ἀμφοτέρας διχόωσαν
ἠμὲν ἀεξομένην ἠδ' ἐς κέρας αὖθις ἰοῦσαν·
καί οἱ ἐπὶ χροιῇ τεκμαίρεο μηνὸς ἑκάστου.
πάντῃ γὰρ καθαρῇ κε μάλ' εὔδια τεκμήραιο·

781. ἀεξομένης L. 782. ἐφεστῶτος GK. 783. τε καὶ περὶ K. ἔχουσα K. 784. εὔδιός — 785. πνευματίη om F. 784. κ' om G. δὲ] δ' αὖ L. εὖ] οὖ C. 786. τέταρτον K. φῶς F. ἀμερινὸν D. 787. ἠὲ νότῳ ἀμβλύνετ' marg. Oxon.: codices ἢ νότῳ ἀμβλύνεται, C ἢ νότῳ ἀμβλύεται. 787. ὕδατι L. ῥέοντος A. hunc versum post 788 ponunt DHM. 788. ἀπ' CFH LM: * ἐπ'. 789. μήτ' ἐπινευστάζῃ Mosq.: μήτε τι νευστάζῃ ADFHKM, μήτε τι νευστάζει CG, * μήτε τι νευστάζοι. φαείνει (οι) G, * φαείνοι. 790. ὀρθὰς — κεραίας Vossius: codices ὀρθαὶ — κεραῖαι. περιγνάμπτουσα A: περιγνάπτωσι FHM, * περιγνάμπτωσι. 791. φέρονται A. 792. τέταρτον K. ἀγινεῖ K, ἀγινεῖ (οῖ) ACD FGHLM. 793. ἤ τ' ABCEG: * ἦ τ'. διδάσκῃ K, * διδάσκει. 794. κέ ACDFGHKM: * κεν. 795. δεῖ δέχθαι L. ὅτε] θ' ὅτε BDEN, τ' ὅτε M 796. τριτόεσσαν C. ἑλίσσοι BCELN. 797. χείμαρος F, χειμέριος G. 798. αὖ FHLM. φοινίσσοιτο N. 799. εἰς K. ἀμφοτέραν L. 800. ἀλεξομένην K. 801. χροιὴν ABDEFHKLMN. 802. κε] καὶ CFHK.

πάντα δ' ἐρευθομένη δοκέειν ἀνέμοιο κελεύθους·
ἄλλοθι δ' ἄλλο μελαινομένη δοκέειν ὑετοῖο.
σήματα δ' οὔτ' ἄρ πᾶσιν ἐπ' ἤμασι πάντα τέτυκται·
ἀλλ' ὅσα μὲν τριτάτη τε τεταρταίη τε πέλονται
μέσφα διχαιομένης, διχάδος γε μὲν ἄχρις ἐπ' αὐτήν
σημαίνει διχόμηνον, ἀτὰρ πάλιν ἐκ διχομήνου
ἐς διχάδα φθιμένην· ἔχεται δέ οἱ αὐτίκα τετράς
μηνὸς ἀποιχομένου, τῇ δὲ τριτάτη ἐπιόντος.
εἰ δέ κέ μιν περὶ πᾶσαν ἅλωαὶ κυκλώσωνται
ἢ τρεῖς ἠὲ δύω περικείμεναι ἠὲ μί' οἴη,
τῇ μὲν ἰῇ ἀνέμοιο γαληναίης τε δοκεύειν,
ῥηγνυμένη ἀνέμοιο, μαραινομένη δὲ γαλήνης·
ταὶ δύο δ' ἂν χειμῶνι περιτροχάοιντο σελήνην·
μείζονα δ' ἂν χειμῶνα φέροι τριέλικτος ἁλωή,
καὶ μᾶλλον μελανεῦσα, καὶ εἰ ῥηγνύατο μᾶλλον.
καὶ τὰ μὲν οὖν ἐπὶ μηνὶ σεληναίης κε πύθοιο.
'Ηελίοιο δέ τοι μελέτω ἑκάτερθεν ἰόντος·
ἠελίῳ καὶ μᾶλλον ἐοικότα σήματα κεῖται,
ἀμφότερον δύνοντι καὶ ἐκ περάτης ἀνιόντι.
μή οἱ ποικίλλοιτο νέον βάλλοντος ἀρούρας
κύκλος, ὅτ' εὐδίου κεχρημένος ἤματος εἴης,
μηδέ τι σῆμα φέροι, φαίνοιτο δὲ λιτὸς ἁπάντη.
εἰ δ' αὔτως καθαρόν μιν ἔχοι βουλύσιος ὥρη,

803. πάντη CL. ἐρευθομένηκ BN. 804. δ' om C. ἄλλα G, ἄλλου K. μελαινομένην E. δοκεύειν BN. ἀνέμοιο L, ἠέλιο D. 805. οὔτἄρ Luttmannus, quod esse non tamen ideo. πάντα om A. 806. τε om ABCEFGMN. τετραταίη BEN. πέλονται ACFGHKLM: * πέληται. 807. διχαζομένης A. μὰν BEN, μὴν AG. αὐτῆς BDEN. 808. διχομήνου GDFGHKLM: διχομήνης B, * διχομήνης. 809. φθινομένην D. δέχεται ACGK. δέ μεν G. 810. ἢ δὲ DHM, ἠδὲ BEFGLN. ἐπιόντος Vossius: codices ἀπιόντος. 811. μὲν F. πᾶσαι E. ἅλωαὶ KLMN. κυκλώσονται BCDFGHKLMN, κυκλώσαντο E. 812. δύο E. 814. ῥηγνυμένην E, ῥηγνυμένη M. μαραιομένη H, μαραινομένη M. 815. τῷ vel τὼ FHKM. δ' ἂν] γὰρ F. περιτροχάοιντο FGHLM: περιτροχάοι τε G, * περιτροχάοιτο. σελήνην AC: * σελήνη. 818. οὖν om K. 819. ἠελίου A. 820. ἠελίοιο F. σώματα κεῖσθαι C. 823. ἠμάτιος A. 824. τοι C. 825. ἔχει K, ἔχοι ἤ G, ἔχει C. βουλήσιος M.

δύνοι δ' ἀνέφελος μαλακὴν ὑποδείελος αἴγλην,
καί κεν ἐπερχομένης ἠοῦς ἔθ' ὑπεύδιος εἴη.
ἀλλ' οὐχ ὁππότε κοῖλος ἐειδόμενος περιτέλλῃ,
οὐδ' ὁπότ' ἀκτίνων αἱ μὲν νότον αἱ δὲ βορῆα
σχιζόμεναι βάλλωσι, τὰ δ' αὖ περὶ μέσσα φαείνῃ·
ἀλλά που ἢ ὑετοῖο διέρχεται ἢ ἀνέμοιο.
    Σκέπτεο δ', εἴ κέ τοι αὐγαὶ ὑπείκωσ' ἠελίοιο,
αὐτὸν ἐς ἥλιον (τοῦ γὰρ σκοπιαὶ καὶ ἄρισται),
εἴ τί οἱ ἤ που ἔρευθος ἐπιτρέχει, οἷά τε πολλά
ἑλκομένων νεφέων ἐρυθαίνεται ἄλλοθεν ἄλλα,
ἢ εἴ που μελανεῖ· καί τοι τὰ μὲν ὕδατος ἔστω
σήματα μέλλοντος, τὰ δ' ἐρεύθεα πάντ' ἀνέμοιο.
εἴ γε μὲν ἀμφοτέρων ἅμυδις κεχρωσμένος εἴη,
καί κεν ὕδωρ φορέοι καὶ ὑπηνέμιος τανύοιτο.
εἰ δέ οἱ ἢ ἀνιόντος ἢ αὐτίκα δυομένοιο
ἀκτῖνες συνίωσι καὶ ἀμφ' ἑνὶ πεπλήθωσιν,
ἤ ποτε καὶ νεφέων πεπιεσμένος ἢ ὅγ' ἐς ἠῶ
ἔρχηται παρὰ νυκτὸς ἢ ἐξ ἠοῦς ἐπὶ νύκτα,
ὕδατί κεν κατιόντι παρατρέχοι ἤματα κεῖνα.
μηδ' ὅτε οἱ ὀλίγη νεφέλη πάρος ἀντέλλῃσιν,
τὴν δὲ μέτ' ἀκτίνων κεχρημένος αὐτὸς ἀερθῇ,
ἀμνηστεῖν ὑετοῖο. πολὺς δ' ὅτε οἱ περὶ κύκλος
οἷον τηκομένῳ ἐναλίγκιος εὐρύνηται
πρῶτον ἀνερχομένοιο καὶ ἂψ ἐπὶ μεῖον ἵῃσιν,
εὔδιός κε φέροιτο· καὶ εἴ ποτε χείματος ὥρῃ

826. δύνει ACKL. ἀννέφελος FHLM. ὑπὸ δείελος L, ὑποδείελον AK. 827. μὲν D. 828. περιτέλλοι BEM, περιτέλλει ACGL. 830. φαείνει ACG, φαείνοι K. 831. παρέρχεται C. 832. καί ABCEFHKMN. ὑπείκωσ' FGHKLM: ὑπείκουσ' AC, * ὑπεῖέν ἄν. 833. εἰς K. καὶ] εἰσιν A, unde Buttmannus σκοπαί εἰσιν. 834. οἱ ἤ που] οἱ πού ἢ HLM, που ἢ οἱ G, που εἴ οἱ C, που ἠὲ BEN, που ἢ F, * πού ἢ καί. 835. ἐρυθραίνεται DG. 836. μελάνει CFHLM, μελαίνῃ G. τοι AC GK: * σοι. 837. σήματος C. ἐρεύθεα C: * ἐρευθέα. 838. μὴν C. ἀμφοτέρων C: ἀμφοτέρους F, * ἀμφοτέροις. κεχρημένος M (ωσ above), κεχρημένος C, apud Stobaeum κεχρωμένος. 839. καί κεν] κέν κεν K. καὶ ὑπηνέμιος — 840. ἀνιόντος om F. 840. τοι A. ἢ post οἱ om DF. 842. ἢ] εἴ K. ὅγ' A: * ὅτ'. 844. παρατρέχει CKL. ἤματι κείνῳ GL. 846. κεχρημένος CGL: * κεχρωσμένος. 847. ἀμνηστεῖν B, ἀμνηστεῖ N. ἔτι E.



Digitized by Google

ὠχρῆσαι κατιών. ἀτὰρ ὕδατος ἠμερινοῖο
γινομένου κατόπισθε περὶ νέφεα σκοπέεσθαι
καδδὴ δυομένου τετραμμένος ἠελίοιο.
ἢν μὲν ὑποσκιάῃσι μελαινομένῃ εἰκυῖα
ἠέλιον νεφέλη, ταὶ δ' ἀμφί μιν ἔνθα καὶ ἔνθα
ἀκτῖνες μεσσηγὺς ἑλισσόμεναι διχόωνται,
ἦτ' ἂν ἔτ' εἰς ἠῶ σκέπαος κεχρημένος εἴης.
εἰ δ' ὁ μὲν ἀνέφελος βάπτοι ῥόον ἑσπερίοιο,
ταὶ δὲ κατερχομένου νεφέλαι καὶ ἀποιχομένοιο
πλησίαι ἑστήκωσιν ἐρευθέες, οὔ σε μάλα χρή
αὔριον οὐδ' ἐπὶ νυκτὶ περιτρομέειν ὑετοῖο,
ἀλλ' ὁπότ' ἠελίοιο μαραινομένῃσιν ὁμοῖαι
ἐξαπίνης ἀκτῖνες ἀπ' οὐρανόθεν τανύωνται,
οἷον ἀμαλδύνονται, ὅτε σκιάῃσι κατ' ἰθύ
ἱσταμένη γαίης τε καὶ ἠελίοιο σελήνη.
οὐδ' ὅτε οἱ ἐπέχοντι φανήμεναι ἠῶθι πρό
φαίνονται νεφέλαι ὑπερευθέες ἄλλοθεν ἄλλαι,
ἄῤῥαντοι γίνονται ἐπ' ἤματι κείνῳ ἄρουραι.
μηδ' αὔτως, ἔτ' ἐόντι πέρην ὁπότε προταθεῖσαι
ἀκτῖνες φαίνονται ἐπίσκιοι ἠῶθι πρό,
ὕδατος ἢ ἀνέμοιο κατοισομένου λελαθέσθαι.
ἀλλ' εἰ μὲν κεῖναι μᾶλλον κνέφαος φορέοιντο
ἀκτῖνες, μᾶλλόν κεν ἐφ' ὕδατι σημαίνοιεν·
εἰ δ' ὀλίγος τανύοιτο περὶ δνόφος ἀκτίνεσσιν,
οἷόν που μαλακαὶ νεφέλαι φορέουσι μάλιστα,
ἦτ' ἂν ἐπερχομένοιο περιδνοφέοιντ' ἀνέμοιο.
οὐδὲ μὲν ἠελίου σχεδόθεν μελανεῦσαι ἅλωαί
εὔδιοι· ἀσσότεραι δὲ καὶ ἀστεμφὲς μελανεῦσαι

851. ἠμερίοιο FGHKLM. 854. ἐπισκιάῃσι K. ἐοικυῖα GK. 856. ἑλισσομένην AK. διχόωσιν A. 857. ἔτ' om G. σκέπαος (ε supra α) B, σκέπεος A. 858. ἀννέφελος CHM. ῥόον K. 859. ἐπερχομένοιο A. 860. πλησίαι ACFHKM: * πλησίον. ἑστήκασιν K. 861. τρομέειν (omissa περι) K. 862. μαραινομένοισιν AK. 863. ὑπ' A. τανύονται ABCEFGKLMN. 864. ἀμαλδύνηται BCFGHKLMN. 865. γαίη K. 866. φαήμεναι EFGHLM, φαείμεναι C. 867. φαίνονται ABCEGKLN: * φαίνωνται. ἄλλαι ACFGHKLM: * ἄλλῃ. 868. γίνωνται FH. 871. κατοιδομένου C. λελέσθαι K. 872. κνέφαος μᾶλλον E. φορέονται A. 875. που] που καὶ C. μάλα καὶ νεφέλαι K et pr H, νεφέλαι μαλακαὶ E. 878. ἀστεμφέες CK.

Digitized by Google

μᾶλλον χείμέριαι· δύο δ' ἂν χαλεπώταται εἶεν.
Σκέπτεο δ' ἢ ἀνιόντος ἢ αὐτίκα δυομένοιο
εἴ πού οἱ νεφέων, τὰ παρήλια κικλήσκονται,
ἢ νότου ἠὲ βορῆος ἐρεύθεται ἢ ἑκάτερθεν.
μηδ' οὕτω σκοπιὴν ταύτην ἀμενηνὰ φυλάσσειν·
οὐ γάρ, ὅτ' ἀμφοτέρωθεν ὁμοῦ περὶ μέσσον ἔχουσιν
ἠέλιον κεῖναι νεφέλαι σχεδὸν ὠκεανοῖο,
γίνεται ἀμβολίη Διόθεν χειμῶνος ἰόντος.
εἴ γε μὲν ἐκ βορέαο μί' οἴη φοινίσσοιτο,
ἐκ βορέω πνοιάς κε φέροι, νοτίη δὲ νότοιο,
ἢ καί που ῥαθάμιγγες ἐπιτροχόωσ' ὑετοῖο.
Ἑσπερίοις καὶ μᾶλλον ἐπίτρεπε σήμασι τούτοις·
ἑσπερόθεν γὰρ ὁμῶς σημαίνεται ἐμμενὲς αἰεί.
Σκέπτεο καὶ Φάτνην. ἡ μέν τ' ὀλίγῃ εἰκυῖα
ἀχλύϊ βοῤῥαίη ὑπὸ Καρκίνῳ ἠγηλάζει·
ἀμφὶ δέ μιν δύο λεπτὰ φαεινόμενοι φορέονται
ἀστέρες, οὔτε τι πολλὸν ἀπήοροι οὔτε μάλ' ἐγγύς,
ἀλλ' ὅσσον τε μάλιστα πυγούσιον οἰήσασθαι,
εἷς μὲν πὰρ βορέαο· νότῳ δ' ἐπικέκλιται ἄλλος.
καὶ τοὶ μὲν καλέονται Ὄνοι, μέσση δέ τε Φάτνη,
ἥτε καὶ ἐξαπίνης πάντῃ Διὸς εὐδιόωντος
γίνετ' ἄφαντος ὅλη· τοὶ δ' ἀμφοτέρωθεν ἰόντες
ἀστέρες ἀλλήλων αὐτοσχεδὸν ἰνδάλλονται·
οὐκ ὀλίγῳ χειμῶνι τότε κλύζονται ἄρουραι.
εἰ δὲ μελαίνηται, τοὶ δ' αὐτίκ' ἐοικότες ὦσιν
ἀστέρες ἀμφότεροι, περί χ' ὕδατι σημαίνοιεν.
εἰ δ' ὁ μὲν ἐκ βορέω Φάτνης ἀμενηνὰ φαείνοι

εραι
879. δύω N. χαλεπώταται L: * χαλεπώτεραι. εἶεν ACGKL: * εἰσίν. 880. σκέπταιο M. 881. καὶ κλήσκονται C. 883. αὔτως Buttmannus. φυλάσσου A. 884. ὅτ'] ἔτ' A, om C. ἔχουσιν FGHL: * ἔχωσιν. 885. κακεῖναι C. 886. ἀμβολίην H. ἐόντος A. 887. μὴν A. 890. ἐπίτρεπε σήμασι τούτοις G et
π
γρ M: ἐπιτρέχε σήμασι τούτοις F, ἐπίτρεχε σήμασι τούτοις BCEHKLMN, ἐπίτρεχε σήμασι κείνοις A, * ἀληθέα τεκμήραιο. 891. σημαίνετον FCHLM. 892. οἰκυῖα K, ἐοικυῖα N. 893. βοῤῥείη E, βοραίη HK, βορεεῖαι C. ἡγηλάζει H. 894. φέρονται BN. 895. τοι L. 896. ὅσον HMN. οἰήσεσθαι A. 897. πὰρ om BEN. βορέω K, βοῤῥείαο BEN. ἐπικέκλιται AK: * ἐπιέρχεται. 898. δέ] εἴ C. τε] τοι A. 899. εὐδιόωντος AEK. 903. εἰ] ἢν K. μελαίνεται C. αὐτόθ' AK. 904. δ' AK. 905. βορέαο BEN. φαείνῃ D.

1091

Digitized by Google

λεπτὸν ἐπαχλυόων, νότιος δ' Ὄνος ἀγλαὸς εἴη,
δειδέχθαι ἀνέμοιο νότου· βορέω δὲ μάλα χρὴ
ἔμπαλιν ἀχλυόεντι φαεινομένῳ τε δοκεύειν.
Σῆμα δέ τοι ἀνέμοιο καὶ οἰδαίνουσα θάλασσα
γινέσθω, καὶ μακρὸν ἐπ' αἰγιαλοὶ βοόωντες,
ἀκταί τ' εἰνάλιοι ὁπότ' εὔδιοι ἠχήεσσαι
γίνονται, κορυφαί τε βοώμεναι οὔρεος ἄκραι.
Καὶ δ' ἂν ἐπὶ ξηρὴν ὅτ' ἐρωδιὸς οὐ κατὰ κόσμον
ἐξ ἁλὸς ἔρχηται φωνῇ περίαλλα λεληκώς,
κινυμένου κε θάλασσαν ὕπερ φορέοιτ' ἀνέμοιο.
καί ποτε καὶ κέπφοι, ὁπότ' εὔδιοι ποτέονται,
ἀντία μελλόντων ἀνέμων εἰληδὰ φέρονται.
πολλάκι δ' ἀγριάδες νῆσσαι ἢ εἰναλίδιναι
αἴθυιαι χερσαῖα τινάσσονται πτερύγεσσιν·
ἢ νεφέλη ὄρεος μηκύνεται ἐν κορυφῇσιν.
ἤδη καὶ πάπποι, λευκῆς γήρειον ἀκάνθης,
σῆμ' ἐγένοντ' ἀνέμου, κωφῆς ἁλὸς ὁππότε πολλοὶ
ἄκρον ἐπιπλείωσι, τὰ μὲν πάρος, ἄλλα δ' ὀπίσσω.
Καὶ θέρεος βρονταί τε καὶ ἀστραπαὶ ἔνθεν ἴωσιν,
ἔνθεν ἐπερχομένοιο περισκοπέειν ἀνέμοιο.
καὶ διὰ νύκτα μέλαιναν ὅτ' ἀστέρες ἀΐσσωσιν
ταρφέα, τοὶ δ' ὄπιθεν ῥυμοὶ ὑπολευκαίνωνται,
δειδέχθαι κείνοις αὐτὴν ὁδὸν ἐρχομένοιο
πνεύματος· ἢν δὲ καὶ ἄλλοι ἐναντίοι ἀΐσσωσιν,
ἄλλοι δ' ἐξ ἄλλων μερέων, τότε δὴ πεφύλαξο
παντοίων ἀνέμων, οἵ τ' ἄκριτοί εἰσι μάλιστα,
ἄκριτα δὲ πνείουσιν ἐπ' ἀνδράσι τεκμήρασθαι.

906. ἐπαχλύων Schneiderus. 907. δεῖ δέχθαι L. 908. ἀχλυόωντι GL. 909. σήματα δέ τ' FGHLM. 910. γενέσθω FK. βοῶντες C. 912. γίνωνται HM. hunc versum om E. 914. περίαλλα C: * περὶ πολλὰ. 915. κινουμένου ACK. 916. καὶ om K. 918. νῆσαι L, νῆσσοι K. εἰναλίδιναι K: εἰναλιδῖναι HL et γρ M, εἰνάλιοι δῖναι G, * εἰν ἁλὶ δῖναι. 919. χερσαῖαι CFHK. 923. ἄκροι DG. ἐπιπλόωσι AFHM. 924. τε om C. ἔνθα L. 927. ὄπισθεν K. ὑπολευκαίνωνται D: ὑπὸ λευκαίνονται KL, * ὑπολευκαίνονται. 928. δεῖ δέχθαι L. κείνης A. 929. ἢν CFHM: * εἰ. ἐναντίοι ABEFGMN et (ante posito ἀΐσσωσιν) K: * ἐναντίον. 930. ἄλλοις ἐξ CD. πεφύλαξο B (ai suprascr.), πεφύλαξαι FHLM. 931. ἄκριταί EF

αὐτὰρ ὅτ' ἐξ εὔροιο καὶ ἐκ νότου ἀστράπτῃσιν,
ἄλλοτε δ' ἐκ ζεφύροιο καὶ ἄλλοτε πὰρ βορέαο,
δὴ τότε τις πελάγει ἔνι δείδιε ναυτίλος ἀνὴρ
μή μιν τῇ μὲν ἔχῃ πέλαγος τῇ δ' ἐκ Διὸς ὕδωρ·
ὕδατι γὰρ τοσσαίδε περὶ στεροπαὶ φορέονται.
πολλάκι δ' ἐρχομένων ὑετῶν νέφεα προπάροιθεν
οἷα μάλιστα πόκοισιν ἐοικότες ἰνδάλλονται·
ἢ διδύμη ἔζωσε διὰ μέγαν οὐρανὸν ἶρις·
ἢ καί πρύ τις ἅλωα μελαινομένην ἔχει ἀστήρ.

Πολλάκι λιμναῖαι ἢ εἰνάλιαι ὄρνιθες
ἄπλητον κλύζονται ἐνιέμεναι ὑδάτεσσιν·
ἢ λίμνην πέρι δηθὰ χελιδόνες ἀΐσσονται
γαστέρι τύπτουσαι αὔτως εἰλυμένον ὕδωρ·
ἢ μᾶλλον δειλαὶ γενεαί, ὕδροισιν ὄνειαρ,
αὐτόθεν ἐξ ὕδατος πατέρες βοόωσι γυρίνων·
ἢ τρύζει ὀρθρινὸν ἐρημαίη ὀλολυγών·
ἤ που καὶ λακέρυζα παρ' ἠϊόνι προυχούσῃ
χείματος ἐρχομένου χέρσῳ ὑπέτυψε κορώνη,
ἤ που καὶ ποταμοῖο ἐβάψατο μέχρι παρ' ἄκρους
ὤμους ἐκ κεφαλῆς, ἢ καὶ μάλα πᾶσα κολυμβᾷ,
ἢ πολλὴ στρέφεται παρ' ὕδωρ παχέα κρώζουσα.

Καὶ βόες ἤδη τοι πάρος ὕδατος ἐνδίοιο
οὐρανὸν εἰσανιδόντες ἀπ' αἰθέρος ὠσφρήσαντο·
καὶ κοίλης μύρμηκες ὀχῆς ἐξ ὤεα πάντα
θᾶσσον ἀνηνέγκαντο· καὶ ἀθρόοι ὤφθεν ἴουλοι
τείχη ἀνέρποντες, καὶ πλαζόμενοι σκώληκες
κεῖνοι τοὺς καλέουσι μελαίνης ἔντερα γαίης.
καὶ τιθαὶ ὄρνιθες, ταὶ ἀλέκτορος ἐξεγένοντο,

934. παρὰ C. 935. ἐνδείδιε KMN, ἐνδείδῃε H. 936. ἔχει A, ἔχοι G. 937. τόσσαι γε Buttmannus. 940. ἔξωσε H. 941. ἅλωσον C. 942. λιμναῖαι (δὲ) B. 943. ἄπλητον C: * ἄπληστον. ἀνιέμεναι (ἐν) L. 947. βοῶσι CG, βόωσι K, βοάωσι L. 948. τρύζῃ AFHKLM. 949. καὶ om CG. 950. ἀρχομένου BDE. χέρσῃ C. ἐπέτυψε (υ) L, ὑπέκυψε D. versum 952 post 955 ponunt HM. 953. πολλᾷ BEFHLMN. τρέφεται F. κρόζουσα F. 955. ἐπ' B. ὀσφρήσαντο GKM. 956. ἐξ ὠεὰ G, ἔξω ἐὰ BN. 957. ἀθρόοι ACFGH: ἀθρῶοι K, * ἀθρόον. 958. τείχει K. 960. τοι CHM.

Digitized by Google

*εὖ ἐφθειρίσαντο καὶ ἔκρωξαν μάλα φωνῇ,*
*οἷόν τε σταλάον ψοφέει ἐπὶ ὕδατι ὕδωρ.*
*δή ποτε καὶ γενεαὶ κοράκων καὶ φῦλα κολοιῶν*
*ὕδατος ἐρχομένοιο Διὸς πάρα σῆμ' ἐγένοντο,*
*φαινόμενοι ἀγεληδὰ καὶ ἰρήκεσσιν ὁμοῖον*
*φθεγξάμενοι. καί που κόρακες δίους σταλαγμοὺς*
*φωνῇ ἐμιμήσαντο σὺν ὕδατος ἐρχομένοιο,*
*ἤ ποτε καὶ κρώξαντε βαρείῃ δισσάκι φωνῇ*
*μακρὸν ἐπιῤῥοιζεῦσι τιναξάμενοι πτερὰ πυκνά.*
*καὶ νῆσσαι οἰκουροὶ ὑπωρόφιοί τε κολοιοὶ*
*ἐρχόμενοι κατὰ γεῖσσα τινάσσονται πτερύγεσσιν·*
*ἢ ἐπὶ κῦμα διώκει ἐρωδιὸς ὀξὺ λεληκώς.*
*Τῶν τοι μηδὲν ἀπόβλητον πεφυλαγμένῳ ὕδωρ*
*γινέσθω, μηδ' εἴ κεν ἐπιπλέον ἠὲ πάροιθεν*
*δάκνωσιν μυῖαι καὶ ἐφ' αἵματος ἱμείρωνται,*
*ἢ λύχνοιο μύκητες ἀγείρωνται περὶ μύξαν*
*νύκτα κατὰ σκοτίην· μηδ' ἢν ὑπὸ χείματος ὥρην*
*λύχνων ἄλλοτε μέν τε φάος κατὰ κόσμον ὀρώρῃ,*
*ἄλλοτε δ' ἀΐσσωσιν ἄπο φλόγες ἠΰτε κοῦφαι*
*πομφόλυγες· μηδ' εἴ κεν ἐπ' αὐτόφι μαρμαίρωσιν*
*ἀκτῖνες· μηδ' ἢν θέρεος μέγα πεπταμένοιο*

961. *ἐφθειρίσαντο* CE, *ἐφθειρισαντο* (ή) AFGN, *ἐφθειρήσαντο* HK LM, *ἐφθειρησαντο* (ι) B. *ἔκραξαν* (ω) BN, *ἔκραξαν* K. *μεγάλη* C. post 961 C 969 ponit, nec tamen infra omittit. 962. *ψοφεει* (ά) B, *ψοφάει* FHLM, *ψοφόει* K. 964. *πέρα* N. 965. *ὁμοῖα* (αι) B, *ὁμοῖα* (οι) A, *ὁμοῖαι* KN. 966. *δίους δὲ στ.* G, *δίους γε στ.* L. 968. *ἢ* om C. *κρόξαν τε* F, *κρώξαντες* GK. *βορείη* C, *βαρείησι* L. *δισσάκιδι* K. 969. *τινασσόμενοι* K. 970. *ὑπορόφιοί* K. 971. *γεῖσα* CFHM. 972. *διώκοι* BEN.
975. *δάκνωσι* K. *ἀφ'* (ξ) G. *ἱμείρανται* ABEFGHKLN. 976. *ἀγείρονται* BCEFGHKLMN, *ἐγείρονται* A. 977. *νοτίην* Vossius e schol. Aristophanis. 977. *ἂν* K, om CFHLM. *ὥρη* BDE. 978. *λύχνου* G. *ἄλλοτε — ὀρώρῃ* om K. *σε* BN. *ὀρώρῃες* M, *ὁρώῃ* BN. 979. *δὲ διαΐσσωσιν* G. *ἄπο* BEN. *κουφοι* K. 980. *πομφόλυγγες* KM. *μηδ' —* 981. *ἀκτῖνες* om G. *ἐπ' αὐτόφι* (τι) B, *ὑπόπροθι* CK. *μαραίνονται* FHLM, *μαραίνωνται* C, *μαρμαίρονται* γρ. M. 981. *εἰ* C. *θέρος* N.

Digitized by Google

νησαῖοι ὄρνιθες ἐπασσύτεροι φορέωνται.
μηδὲ σύ γ' ἢ χύτρης ἠὲ τρίποδος πυριβήτεω,
σπινθῆρες ὅτ' ἔωσι πέρι πλέονες, λελαθέσθαι,
μηδὲ κατὰ σποδιὴν ὁπότ' ἄνθρακος αἰθομένοιο
λάμπηται πέρι σήματ' ἐοικότα κεγχρείοισιν.
ἀλλ' ἐπὶ καὶ τὰ δόκευε περισκοπέων ὑετοῖο.
Εἴ γε μὲν ἠερόεσσα παρὲξ ὄρεος μεγάλοιο
πυθμένα τείνηται νεφέλη, ἄκραι δὲ κολῶναι
φαίνωνται καθαραί, μάλα κεν τόθ' ὑπεύδιος εἴης.
εὔδιός κ' εἴης καὶ ὅτε πλατέος παρὰ πόντου
φαίνηται χθαμαλὴ νεφέλη, μηδ' ὑψόθι κύρῃ,
ἀλλ' αὐτοῦ πλαταμῶνι παραθλίβηται ὁμοίη.
Σκέπτεο δ' εὔδιος μὲν ἐὼν ἐπὶ χείματι μᾶλλον,
ἐς δὲ γαληναίην χειμωνόθεν. εὖ δὲ μάλα χρὴ
ἐς Φάτνην ὁράαν, τὴν Καρκίνος ἀμφιελίσσει,
πρῶτα καθαιρομένην πάσης ὑπένερθεν ὀμίχλης·
κείνη γὰρ φθίνοντι καθαίρεται ἐν χειμῶνι.
Καὶ φλόγες ἡσύχιαι λύχνων καὶ νυκτερίη γλαὺξ
ἥσυχον ἀείδουσα μαραινομένου χειμῶνος
γινέσθω τοι σῆμα· καὶ εἰ λίγα κωτίλλουσα
ὥρῃ ἐν ἑσπερίῃ κρώζῃ πολύφωνα κορώνη·
καὶ κόρακες μοῦνοι μὲν ἐρημαῖοι βοόωντες
δισσάκις, αὐτὰρ ἔπειτα μέγ' ἀθρόα κεκλήγοντες·
πλειότεροι δ' ἀγεληδόν, ἐπὴν κοίτοιο μέδωνται,
φωνῆς ἔμπλειοι· χαίρειν κέ τις ὠΐσαιτο,

982. νησαῖοι Schneiderus: codices νηὅσαῖοι. φορέονται CK.
983. πυριβήταο [ου] B, πυριβήταο KN, πυριβήταια FHM.
984. σπινθῆρες [ων] A. περιπλείονες K. 987. ἐπεὶ K. δόκει C. περισκοπεύων K. 988. nonnulli πάρεξ. 990. φαίνονται CEFGHM. 991. παρὰ ACFGHKLM: * περί. 992. κυρῇ ABCGKL. 993. περιθλίβεται K, πάντα θλίβεται A. 994. δ' om C. χείμασι A. 995. εἰ A. χειμὼν [οι] ὅθεν ABEN. 996. ἀμφιελίσση HM. 999. ἡσύχιαι ABN, ἡσύχιοι E. 1000. ἥσυχος E. 1001. γενέσθω K. καὶ ἥσυχα ποικίλλουσα codices: correxit Lobeckius Soph. Aiac. p. 312. 1002. ἐν add ACFGHKLM. κρώξῃ CFHKLM, κρώζει G. πολύφωνος BEN. 1004. μέγ' ἀθρόα Buttmannus: μετ' ἀθρόα EFHKLM, μετὰ θρόα C, * μεταθρόα. κεκληγόντες ABEN, κεκληγῶτες L, κεκληγότες FGHKM. 1005. πλειότερον CFHKLM. 1006. ἔμπλεοι A. καὶ CFGHKM. ὠΐσαιτο G: ὠΐσσοιτο [αι] A, οἰίσσοιτο K, οἴσοιτο C, * ὠΐσσοιτο. Buttmannus ὀΐσαιτο.

Digitized by Google

οἷα τὰ μὲν βοόωσι λιγαινομένοισιν ὁμοῖα,
πολλὰ δὲ δενδρείοιο περὶ φλόον, ἄλλοτ' ἐπ' αὐτοῦ
ἦχί τε κείουσιν καὶ ὑπότροποι ἀπτερύονται.
καὶ δ' ἂν που γέρανοι μαλακῆς προπάροιθε γαλήνης
ἀσφαλέως τανύσαιεν ἕνα δρόμον ἤλιθα πᾶσαι,
οὐδὲ παλιῤῥόθιοί κεν ὑπεύδιοι φορέοιντο.
Ἦμος δ' ἀστερόθεν καθαρὸν φάος ἀμβλύνηται,
οὐδέ ποθεν νεφέλαι πεπιεσμέναι ἀντιόωσιν,
οὐδέ ποθεν ζόφος ἄλλος ὑποτρέχῃ οὐδὲ σελήνη,
ἀλλὰ τάγ' ἐξαπίνης αὔτως ἀμενηνὰ φέρωνται,
μηκέτι τοι τόδε σῆμα γαληναίης ἐπικείσθω,
ἀλλ' ἐπὶ χεῖμα δόκευε· καὶ ὁππότε ταὶ μὲν ἕωσιν
αὐτῇ ἐνὶ χώρῃ νεφέλαι, ταὶ δ' ἄλλαι ὑπ' αὐταῖς
ταὶ μὲν ἀμειβόμεναι ταὶ δ' ἐξόπιθεν φορέωνται.
Καὶ χῆνες κλαγγηδὸν ἐπειγόμεναι βρωμοῖο
χείμωνος μέγα σῆμα, καὶ ἐννεάνειρα κορώνη
νύκτερον ἀείδουσα, καὶ ὀψὲ βοῶντε κολοιοί,
καὶ σπίνος ἠῷα σπίζων, καὶ ὄρνεα πάντα
ἐκ πελάγους φεύγοντα, καὶ ὀρχίλος ἢ καὶ ἐριθεύς
δύνων ἐς κοίλας ὀχεάς, καὶ φῦλα κολοιῶν
ἐκ νομοῦ ἐρχόμενα τραφεροῦ ἐπὶ ὄψιον αὖλιν.
οὐδ' ἂν ἔτι ξουθαὶ μεγάλου χειμῶνος ἰόντος
πρόσσω ποιήσαιντο νομὸν κηροῖο μέλισσαι,
ἀλλ' αὐτοῦ μέλιτός τε καὶ ἔργων εἱλίσσονται·
οὐδ' ὑψοῦ γεράνων μακραὶ στίχες αὐτὰ κέλευθα

1007. βόωσι K. 1008. κατὰ BFGHLMN. φλόου L. αὐτοῦ ACFGM: αὐτὸν (ρῦ) B, * αὐτὸν. 1009. κείουσιν καὶ] κακκείουσι Buttmannus. ἀπτερρύονται HM, ἀπτερρυόνονται F, αὖ πτερύωνται G, αὐτ' ἐρύονται C, ἀπερύονται K. 1010. γέρανοι καὶ μαλακῆς C. 1012. κεν] ἦεν A. ἐπεύδιοι FHLM. φορέονται K. 1013. οὐρανόθεν CD. 1014. οὐδ' ὄπιθεν CFHLM. 1015. ὑποτρέχει ACFGHKM, ὑποτρέχοι L. 1016. φέρονται BCKN. 1017. τοι om FGHM. ὑποκείσθω BEN. 1018. μὲν ἕωσιν BEGKLMN, μενέωσιν AFH: * μὲν ἑῶσιν. 1019. ἐνὶ AFG: * ἐν. ὑπ' BFGHLMN. 1020. φορέωνται EFGM. 1021. ἐπειγόμενοι ACGK. βρώμοιο K. 1022. ἐννεαγήρω C, * ἐννεάγηρα. correxit Lobeckius Phrynich. p. 538. 1023. νυκτερινὸν ἀείδουσαι K. βοῶντε (ες) A, βοῶντες GK. 1026. ὀχέας AEG. 1027. ἐπιόψιον HM, ἐπίοψον C, ἐπιόψιν L, ἐπόψιον K. 1028. ἐπὶ ξουθαὶ ABCEGLN, * ἐπιξουθαί. correxit Vossius. 1029. ποιήσαντο νομὴν G.

Digitized by Google

τείνονται, στροφάδες δὲ παλιμπετὲς ἀπονέονται.
μηδ' ὅτε νηνεμίῃ κεν ἀράχνια λεπτὰ φέρηται
καὶ φλόγες αἰθύσσωσι μαραινομένου λύχνοιο,
ἢ πῦρ αὔηται σπουδῇ καὶ ὑπεύδια λύχνα,
πιστεύειν χειμῶνι. τί τοι λέγω ὅσσα πέλονται
σήματ' ἐπ' ἀνθρώπους; δὴ γὰρ καὶ ἀεικέϊ τέφρῃ
αὐτοῦ πηγνυμένῃ νιφετοῦ ἐπιτεκμήραιο·
καὶ λύχνῳ χιόνος, κέγχροις ὅτ' ἐοικότα πάντῃ
κύκλῳ σήματ' ἔχει πυριλαμπέος ἐγγύθι μύξης·
ἄνθρακι δὲ ζώοντι χαλάζης, ὁππότε λαμπρός
αὐτὸς ἐείδηται, μέσσῳ δέ οἱ ἠΰτε λεπτή
φαίνηται νεφέλη πυρὸς ἔνδοθεν αἰθομένοιο.
Πρῖνοι δ' αὖ καρποῖο καταχθέες, οὐδὲ μέλαιναι
σχῖνοι ἀπείρητοι· πάντῃ δέ τε πολλὸς ἀλωεύς
αἰεὶ παπταίνει, μή οἱ θέρος ἐκ χερὸς ἔρρῃ.
πρῖνοι μὲν θαμινῆς ἀκύλου κατὰ μέτρον ἔχουσαι
χειμῶνός κε λέγοιεν ἐπιπλέον ἰσχύσοντος.
μὴ μὲν ἄδην ἔκπαγλα περιβρίθοιεν ἁπάντῃ,
τηλοτέρω δ' αὐχμοῖο συνασταχύοιεν ἄρουραι.
τριπλόα δὲ σχῖνος κυέει, τρισσαὶ δέ οἱ αὖξαι
γίνονται καρποῖο, φέρει δέ τε σήμαθ' ἑκάστη
ἑξείης ἀρότῳ. καὶ γάρ τ' ἀροτήσιον ὥρην
τριπλόα μείρονται, μέσσην καὶ ἐπ' ἀμφότερ' ἄκρα·
πρῶτος μὲν πρώτην ἄροσιν, μέσσος δέ τε μέσσην

1032. παλιμπετεὲς H. 1033. κεν L, om CK: * ἐν. φέρονται$^{η}$ A, φέρονται K, φέρωνται GL. 1034. αἰθύσσουσι CL, αἰθύσωσι K. μαραινομένου K: μαραινόμεναι CFHM et mg G, μελαινόμεναι AGL, μελαινομένοιο E, * μαραινομένοιο.
1035. αὔνηται M. σπουδῇ Buttmannus e scholiis: codices σποδιῇ. 1036. πιστεύει K. 1037. δεῖ K. καὶ om C. ἀεικεῖ F, ἀεικέη A. 1038. νιφετῷ ACFGHKLM.
1039. λύχνα C. 1040. ἔχει ABCEGLN: * ἔχῃ. πυριλαμπέος ABEFGHLMN: πυριλαμπέοι C, περιλαμπέος K, * πυριλαμπής.
1042. ἐείδεται F. 1044. αὖ A: * οὐ. καρποῖς C.
1045. σχοῖνοι K. τε] τοι AG. 1046. ἀεὶ K. παπταίνει$^{ων}$ A. θέρεος FHM. χειρὸς FHKM. ἔρροι$^{η}$ BN. 1047. κύλου A, ἀκύκλου FK. 1048. ἰσχύσαντος A. 1049. μὴ μὲν ACFGH LM: μηδὲν K, * μηδέ. ἔκπλαγα C. 1051. σχοῖνος CK. οἱ ACFGHKLM: * γε. 1054. μέσση CL, μέσσον K. ἀμφότεραι ἄκραι K. 1055. πρῶτον A, πρώτως L.

Digitized by Google

καρπὸς ἀπαγγέλλει, πυμάτην γε μὲν ἔσχατος ἄλλων.
ὅντινα γὰρ κάλλιστα λοχαίη σχῖνος ἄρηται,
κείνῳ γ' ἐξ ἄλλων ἄροσις πολυλήϊος εἴη,
τῷ δέ γ' ἀφαυροτάτῳ ὀλίγη, μέσσῳ δέ τε μέσση.
αὔτως δ' ἀνθέρικος τριχθὰ σκίλλης ὑπερανθεῖ,
σήματ' ἐπιφράσσασθαι ὁμοιίου ἀμήτοιο.
ὅσσα δ' ἐνὶ σχίνου ἀροτὴρ ἐφράσσατο καρπῷ,
τόσσα δὲ καὶ σκίλλης τεκμαίρεται ἄνθεϊ λευκῷ.
Αὐτὰρ ὅτε σφῆκες μετοπωρινὸν ἤλιθα πολλοὶ
πάντῃ βεβρίθωσι, καὶ ἑσπερίων προπάροιθεν
Πληϊάδων εἴποι τις ἐπερχόμενον χειμῶνα,
οἷος ἐπὶ σφήκεσσιν ἑλίσσεται αὐτίκα δῖνος.
θήλειαι δὲ σύες, θήλεια δὲ μῆλα καὶ αἶγες
ὁππότ' ἀναστρωφῶσιν ὀχῆς, τὰ δέ γ' ἄρσενα πάντα
δεξάμεναι πάλιν αὖτις ἀναβλήδην ὀχέωνται,
αὔτως κε σφήκεσσι μέγαν χειμῶνα λέγοιεν.
ὀψὲ δὲ μισγομένων αἰγῶν μήλων τε συῶν τε
χαίρει ἄνολβος ἀνήρ, ὅ οἱ οὐ μάλα θαλπιόωντι
εὔδιον φαίνουσι βιβαιόμεναι ἐνιαυτόν.
Χαίρει καὶ γεράνων ἀγέλαις ὡραῖος ἀροτρεύς
ὥριον ἐρχομέναις, ὁ δ' ἀώριος αὐτίκα μᾶλλον·
αὔτως γὰρ χειμῶνες ἐπέρχονται γεράνοισιν,

1056. ἐπαγγέλλει *A*. γε μὴν *K*. ἄλλην *F*. 1057. γὰρ] καὶ *L*. 1059. τ' *CL*. ἀφαυροτέρῳ *BEFGHKMN*.
1060. αὔτως *ACEGL*: οὕτω *B*, * οὕτως. ὑπερανθεῖ *FGHKLM*: ὑπερανθείη *C*, * ὑπεραρθῇ. 1061. ἐπιφράσαασθαι *ABCEFGHN*.
ἐπὶ
ὁμοιίου Vossius: codices ὁμοῖιον. 1062. ἐνὶ *ABKN*: ἐνὶ *G*, * ἐπὶ. σχίνου *ABCEFGHLMN*: σχοίνου *K*, * σχῖνον.
ἐφράσσατο *ABGHKM*: ἐφράσατο *BGN*, ἐπεφράσσατο *L*, ἐπιφράσατο *C*, * ἐπιφράσσατο. 1063. τόσσα δὲ καὶ ἐν *AG*, * τόσσα καὶ ἐν. correxit Buttmannus. 1064. μετοπώριον *H*. 1065. πάντῃ
ου ος
μὲν βεβρίθωσι *K*. 1066. πλειάδων *AG*. ἐπερχόμενον χειμῶνα
να
*AE*, ἐπερχομένου χειμῶνος *G*. 1069. ἄρσενα *K*: ἄρσεσι *G*, ἄρσεσι
ω
*HLM*, * ἄῤῥενα. πᾶσαι Buttmannus. 1070. ὀχέονται *A*, ὀχέονται *CG*, ὀχώονται *L*. 1071. αὔτως *ABEFHMN*, οὕτω *K*, αὖτις *G*: * αὐτῷ. κε Vossius: codices καὶ. 1073. ὅ οἱ *ABCFGHKMN*: * οἵ οἱ. οὐ om *K*. μάλακον *L*. θάλπνοντι *C*, θάλποντι *L*. 1074. φαίνωσι *CL*. βιαιόμεναι *L*, βιβιόμεναι *K*, βεβαιούμεναι *G*. 1076. ἀώροις Buttmannus. μάλα *FHM*.
1077. οὕτως *K*, οὕτω *C*.

Digitized by Google

πρώϊα μὲν καὶ μᾶλλον ὁμιλαδὸν ἐρχομένῃσιν
πρώϊον· αὐτὰρ ὅτ' ὀψὲ καὶ οὐκ ἀγεληδὰ φανεῖσαι
πλειότερον φορέονται ἐπὶ χρόνον, οὐδ' ἅμα πολλαί,
ἀμβολίῃ χειμῶνος ὀφέλλεται ὕστερα ἔργα.
Εἰ δὲ βόες καὶ μῆλα μετὰ βρίθουσαν ὀπώρην
γαῖαν ὀρύσσωσιν, κεφαλὰς δ' ἀνέμοιο βορῆος
ἀντία τείνωσιν, μάλα κεν τότε χείμερον αὐταὶ
Πληϊάδες χειμῶνα κατερχόμεναι φορέοιεν.
μὴ δὲ λίην ὀρύχοιεν, ἐπεὶ μέγας οὐ κατὰ κόσμον
γίνεται οὔτε φυτοῖς χειμὼν φίλος οὔτ' ἀρότοισιν·
ἀλλὰ χιὼν εἴη πολλὴ μεγάλαις ἐν ἀρούραις
μήπω κεκριμένῃ μηδὲ βλωθρῇ ἐπὶ ποίῃ,
ὄφρα τις εὐεστοῖ χαίρῃ ποτιδέγμενος ἀνήρ.
Οἱ δ' εἶεν καθύπερθεν ἐοικότες ἀστέρες αἰεί,
μὴ δ' εἷς μηδὲ δύω μηδὲ πλέονες κομόωντες·
πολλοὶ γὰρ κομόωσιν ἐπ' αὐχμηρῷ ἐνιαυτῷ.
Οὐδὲ μὲν ὀρνίθων ἀγέλαις ἠπειρόθεν ἀνήρ,
ἐκ νήσων ὅτε πολλαὶ ἐπιπλήσσωσιν ἀρούραις,
ἐρχομένου θέρεος χαίρει· περιδείδιε δ' αἰνῶς
ἀμητῷ, μή οἱ κενεὸς καὶ ἀχύρμιος ἔλθῃ
αὐχμῷ ἀνιηθείς. χαίρει δέ που αἰπόλος ἀνὴρ
αὐταῖς ὀρνίθεσσιν, ἐπὴν κατὰ μέτρον ἴωσιν,
ἐλπόμενος μετέπειτα πολυγλαγέος ἐνιαυτοῦ.
οὕτω γὰρ μογεροὶ καὶ ἀλήμονες ἄλλοθεν ἄλλοι
ζώομεν ἄνθρωποι. τὰ δὲ πὰρ ποσὶ πάντες ἑτοῖμοι
σήματ' ἐπιγνῶναι καὶ ἐσαυτίκα ποιήσασθαι.

1078. ἐρχομένοισι CL, ἐρχομένοις AG. post 1078 haec habet C: οὐκ ἂν ἐδεδοίκει τὴν τοῦ χειμῶνος βλάβην. 1079. πρώϊος Vossius. 1080. πλειότεραι CL. φορέωνται D, προτέρων τε CL. οὐ μάλα CFHKLM. πολλῇ CM. 1082. ὀπώραν AG, ὀπώρης BN. 1083. ὀρύσσουσι K. 1084. χείμερον ACFGHKLM: * χείμαρον. 1086. μηδὲ] εἰ δὲ A. 1087. ἀροτῆσιν L. 1088. ἐν E: * ἐπ. 1089. κεκριμμένη K. περὶ AEK, παρὰ G. 1090. εὐεστοῖ CHKM: εὐετοῖ G, εὐετοῖ AFL, εὐεκτῶν N, * εὐετύϊ. 1091. οἱ δ' AFHM: * μηδ'. 1092. codices μήθ' εἷς μήτε. 1093. γὰρ om K. 1094. ἠπειρόνδ' BEN. 1095. ἐπιπλήσωσιν CL. 1096. ἐρχομέναις FHM. 1097. ἀχύρμιος C: * ἀχυρμιός. 1098. ἀνιθεὶς K. 1099. αὐτοῖς K, ταύταις L, ἐν ταῖς A. ὀρνίθεσιν N. ἐπὴν μὴ κατὰ BEN. κόσμον E. 1101. μηγεροὶ K. ἀλήμενες HM.

Digitized by Google

Ἀρνάσι μὲν χειμῶνας ἐτεκμήραντο νομῆες,
ἐς νομὸν ὁππότε μᾶλλον ἐπειγόμενοι τροχόωσιν,
ἄλλη δ᾽ ἐξ ἀγέλης κριοί, ἄλλη δὲ καὶ ἀμνοί
εἰνόδιοι παίζωσιν ἐρειδόμενοι κεράεσσιν·
ἢ ὁπότ᾽ ἄλλοθεν ἄλλοι ἀναπλήσσωσι πόδεσσιν
τέτρασιν οἱ κοῦφοι, κεραοί γε μὲν ἀμφοτέροισιν·
ἢ καὶ ὅτ᾽ ἐξ ἀγέλης ἀεκούσια κινήσωσιν
δείελον εἰσελάοντες ὅμως, τὰ δὲ πάντοθι ποίης
δάκνωσιν πυκινῇσι κελευόμενα λιθάκεσσιν.
ἐκ δὲ βοῶν ἐπύθοντ᾽ ἀρόται καὶ βουκόλοι ἄνδρες
κινυμένου χειμῶνος, ἐπεὶ βόες ὁππότε χηλὰς
γλώσσῃ ὑπωμαίοιο ποδὸς περιλιχμήσωνται
ἢ κοίτῳ πλευρὰς ἐπὶ δεξιτερὰς τανύσωνται,
ἀμβολίην ἀρότοιο γέρων ἐπιέλπετ᾽ ἀροτρεύς.
οὐδ᾽ ὅτε μυκηθμοῖο περίπλειοι ἀγέρωνται
ἐρχόμεναι σταθμόνδε βόες βουλύσιον ὥρην
σκυθραὶ λειμῶνος πόριες καὶ βουβοσίοιο,
αὐτίκα τεκμαίρονται ἀχείμεροι ἐμπλήσεσθαι.
οὐδ᾽ αἶγες πρίνοιο περισπεύδουσαι ἀκάνθαις
εὔδιοι, οὐδὲ σύες φορυτῷ ἐπιμαργαίνουσαι.
Καὶ λύκος ὁππότε μακρὰ μονόλυκος ὠρύηται,
ἢ ὅτ᾽ ἀροτρήων ὀλίγον πεφυλαγμένος ἀνδρῶν
ἔργα κατέρχηται, σκέπαος χατέοντι ἐοικώς,
ἐγγύθεν ἀνθρώπων, ἵνα οἱ λέχος αὐτόθεν εἴη,

1104. χειμῶν᾽ BN. ἐπιτεκμήραντο FM, ἐπετεκμήραντο BN. 1106. ἄλλη — ἄλλη Vossius; codices ἄλλοι — ἄλλοι. 1107. παίζουσιν K. 1108. ἀναπλήσωσι CFHM. Schneiderus ἀναπλίσσωσι. 1110. ἢ ὁπότ᾽ BEN, ἢ καὶ ὅταν A. κινήσουσι K. 1111. ὅμως FH: * ὁμῶς. πάντοθε K, πάντωθεν C. ποιου L. 1112. πυκινῇσι ABCEGN: πυκινοῖσι KL, * πυκνῇσι. λευόμενα K. 1114. κιννυμένου C, κινουμένου ABGN. χηλάσσας C.
ω
1115. περιλιχμήσονται A, περιλιχμήσονται CKLM. 1116. πλευρὰς FHLM: * πλευρᾶς. δεξιτερὰς FHKM, δεξιτερῇς G, δεξιὰ L, * δεξιτερᾶς. τανύσσονται C, τανύσονται KL. 1118. οὐδ᾽ CFGHKLM: * ἠδ᾽. περίπλεοι K. ἀγέρονται KL, ἀγείρωνται A. 1119. ἐρχόμενοι L. 1120. χεεμῶνος πόριθα K. 1121. ἀχείμαροι CL. ἐμπλήσσεσθαι GHM, ἐμπλήσασθαι K. 1122. πρινοῖο K, πρίνοι M. περισπεύσουσιν A. 1123. εὔδιαι F.
λ
1124. μονώλυκος EL, μονόλυκος F, μονόλλυκος ABHMN.
ε
1125. ἀροτήρων L. 1126. σκέπαος BE, σκέπας AFGM. 1127. λόχος γρ M.

τρὶς περιτελλομένης ἠδῦς χειμῶνα δοκεύειν.
οὕτω καὶ προτέροις ἐπὶ σήμασι τεκμήραιο
ἐσσομένων ἀνέμων ἢ χείματος ἢ ὑετοῖο,
αὐτὴν ἢ μετὰ τὴν ἢ καὶ τριτάτην ἔτ' ἐς ἠῶ.
Ἀλλὰ γὰρ οὐδὲ μύες τετριγότες εἴ ποτε μᾶλλον
εὔδιοι ἐσκίρτησαν ἐοικότες ὀρχηθμοῖσιν,
ἄσκεπτοι ἐγένοντο παλαιοτέροις ἀνθρώποις,
οὐδὲ κύνες· καὶ γάρ τε κύων ὠρύξατο ποσσὶν
ἀμφοτέροις χειμῶνος ἐπερχομένοιο δοκεύων.
[καὶ μὴν ἐξ ὕδατος καὶ καρκίνος ᾤχετο χέρσον
χειμῶνος μέλλοντος ἐπαΐσσεσθαι ὁδοῖο.
καὶ μύες ἡμέριοι ποσσὶ στιβάδα στρωφῶντες
κοίτης ἱμείρονται, ὅτ' ὄμβρου σήματα φαίνοι·
κἀκεῖνοι χειμῶνα μύες τότε μαντεύονται.]
Τῶν μηδὲν κατόνοσσο· καλὸν δ' ἐπὶ σήματι σῆμα
σκέπτεσθαι· μᾶλλον δὲ δυοῖν εἰς ταὐτὸν ἰόντων
ἐλπωρὴ τελέθει· τριτάτῳ δέ κε θαρσήσειας.
αἰεὶ δ' ἂν παριόντος ἀριθμοίης ἐνιαυτοῦ
σήματα, συμβάλλων εἴ που καὶ ἐπ' ἀστέρι τοίη
ἠὼς ἀντέλλοντι φαείνεται ἢ κατιόντι,
ὁπποίην καὶ σῆμα λέγει. μάλα δ' ἄρκιον εἴη
φράζεσθαι φθίνοντος ἐπερχομένοιό τε μηνός
τετράδας ἀμφοτέρας· αἱ γάρ τ' ἄμυδις συνιόντων
μηνῶν πείρατ' ἔχουσιν, ὅτε σφαλερώτερος αἰθὴρ
ὀκτὼ νυξὶ πέλει χήτει χαροποῖο σελήνης.
τῶν ἄμυδις πάντων ἐσκεμμένος εἰς ἐνιαυτόν
οὐδέποτε σχεδίως κεν ἐπ' αἰθέρι τεκμήραιο.

1128. δοκεύειν (ει) B, δοκεύει FHM. 1129. κε K. 1130. ἑπομένων CL. 1131. ἢ ACFGHKLM: * ἠὲ. μετὰ τὴν CKL: * μετ' αὐτὴν. καὶ add AGHKLM. 1132. τετρυγότες K. εἴποθι CL. 1134. παλαιοτάτοις ABEFGHKMN. post 1136 FHM ponunt 1141. 1137—1140 om K. 1137. οἴχετο FHM, οἴχεται CL. χέρσον GL: χέρσον (ω) A, * χέρσω. 1140. φαίνει FL. 1141. καὶ κεῖνοι HKM, hunc versum om G. 1142. κατόνοσσο G: κατόνησο ACFHKM et pr L, * κατόκνησο. 1143. δυεῖν FHM. ἰόντων ACFGHKLM: * ἰόντοιν. 1144. τελέθει G: * τελέθοι. θαρρήσειας BN. 1145. ἂρ C. περιόντος ADL. 1146. ποίη F. 1147. φαείνεται ABEGN: * κατέρχεται. 1148. ὁποῖόν K. καὶ (κεν) B, κε FHKM, τε CL. σῆμα λέγει Vindob.: λέγοι σῆμα L, * σῆμα λέγοι. μάλιστα C. ἐστιν E. 1149. ἐπερχομένοιό CL: ἐφισταμένοιό. 1150. ἀμφοτέροις G. 1151. σφαλερώτατος CDL. 1152. λήτει K. hunc cum 1153 et 1154 om H. 1153. ἐσκεμένων F. 1154. τεκμήροιο E.

Digitized by Google

# ΑΡΑΤΟΥ ΒΙΟΣ.

Ἄρατος πατρὸς μὲν ἦν Ἀθηνοδώρου, μητρὸς δὲ Δηνοδώρας, ἐκ Σόλων τῆς Κιλικίας· ὠνόμασται δὲ ἡ πόλις ἀπὸ Σόλωνος τοῦ Λινδίου, ἔστι δὲ ἡ νῦν Πομπηϊούπολις. ἦν δὲ ἐπὶ Πτολεμαίου τοῦ Φιλαδέλφου, καὶ ἐσχόλασε Διονυσίῳ τῷ Ἡρακλεώτῃ, συνῆν δὲ Ἀντιγόνῳ τῷ Μακεδόνων βασιλεῖ καὶ Φίλᾳ τῇ τούτου γαμετῇ. συνήκμασε δὲ Ἀλεξάνδρῳ τῷ Αἰτωλῷ καὶ Καλλιμάχῳ καὶ Μενάνδρῳ καὶ Φιλητᾷ. ἀδελφοὺς δὲ εἶχε τρεῖς, Μύριν Καλώνδαν καὶ Ἀθηνόδωρον, ὅς πρῶτος ἀντειπεῖν λέγεται Ζωΐλῳ τῷ κατὰ τῆς Ὁμηρικῆς ποιήσεως γράψαντι. σχολάσας δὲ ὁ Ἄρατος Περσαίῳ τῷ φιλοσόφῳ Ἀθήνησι, καὶ συνελθὼν αὐτῷ εἰς Μακεδονίαν μεταπεμφθέντι ὑπ' Ἀντιγόνου, καὶ παρελθὼν εἰς τὸν Ἀντιγόνου καὶ Φίλας γάμον καὶ εὐδοκιμήσας τὸ λοιπὸν τοῦ χρόνου διέτριψεν ἐκεῖσε. ἦν δὲ ὁ Ἀντίγονος υἱὸς Δημητρίου τοῦ πολιορκητοῦ, καὶ παρέλαβε τὴν ἀρχὴν περὶ ἑκατοστὴν καὶ πέμπτην ὀλυμπιάδα, καθ' ἣν Πτολεμαῖος ὁ Φιλάδελφος Αἰγύπτου ἐβασίλευσεν, ὥστε καὶ θρυλλούμενόν ἐστιν ὑπό τινων ὡς ἦν κατὰ τὸν αὐτὸν χρόνον Νικάνδρῳ τῷ Κολοφωνίῳ τῷ τὰ Θηριακὰ γράψαντι. λέγονταί τε προτεῖναι ἀλλήλοις ὁ μὲν Νικάνδρῳ σκέψασθαι τὰ φαινόμενα, ὁ δὲ Ἀράτῳ τὰ Θηριακά. τοῦτο δὲ καταφανῶς ἐστὶ ψεῦδος· ὁ γὰρ Νίκανδρος δώδεκα ὅλαις ὀλυμπιάσι νεώτερος φαίνεται. ἔνιοι δέ φασι τὸν Ἄρατον Μνασέου πατρὸς γεγονέναι, Ἀριστοθήρου δέ τινος μαθηματικοῦ διακοῦσαι, ἰατρὸν δὲ προηγουμένως καὶ ποιητὴν γενέσθαι ἐν τοῖς Ἀντιγόνου βασιλείοις. γηραιῷ δὲ τῷ Κυρηναίῳ ἐπεβάλλετο, παρ' οὗ καὶ ἐπιγράμματος ἠξιώθη. συνήκμασε δὲ Νικάνδρῳ μαθηματικῷ καὶ αὐτῷ Κολοφωνίῳ, θεραπεύοντι ἅμα αὐτόν. ζηλωτὴν δέ φασι τοῦτον γενέσθαι Ὁμήρου, οἱ δὲ Ἡσιόδου μᾶλλον.

Digitized by Google

# ΣΧΟΛΙΑ.

1. Πάνυ πρεπόντως ὁ Ἄρατος, τὴν τῶν ἄστρων διεξιέναι μέλλων θέσιν, τὸν πατέρα τούτων καὶ δημιουργὸν Δία ἐν πρώτοις προσφωνεῖ· Δία γὰρ νῦν τὸν δημιουργὸν ἀκουστέον. τὸ δὲ ἐκ Διός ἀντὶ τοῦ ἀπὸ τοῦ Διός. Πίνδαρος "Διὸς ἐκ προοιμίου." τὸ δὲ ἀρχώμεσθα μετὰ τοῦ σ· ἔστι δὲ ἀρχαϊσμός. Ὅμηρος "δόρπον ἐφοπλισόμεσθα." καὶ ἄλλως εἰκότως τὴν τῶν φαινομένων ἀρχὴν ἀπὸ τοῦ Διός τε καὶ θεῶν ποιεῖται· ἔθος γὰρ δὴ τοῦτο τοῖς ἀρχαίοις φιλοθέοις οὖσιν ἐπιεικῶς ἅπασιν ἀπὸ θεῶν ἄρχεσθαι ὡς καὶ πάντων ἀνθρώποις τῶν καλῶν αἰτίων. Ὅμηρος μὲν "μῆνιν ἄειδε θεά" καὶ "ἄνδρα μοι ἔννεπε Μοῦσα," καὶ Πλάτων δὲ ἐν νόμοις "θεὸς ἤ τίς ἡμῖν ὦ ξένε τὴν ἀρχὴν εἴληχε τῆς τῶν νόμων διαθέσεως; θεός." καὶ ἔτι ἀπὸ Διὸς ἄρχεται, ἐπειδὴ μέλλει μετεωρολογεῖν, βασιλεὺς δὲ τῶν ὅλων καὶ πατὴρ ὁ Ζεύς. οὐ προσήκει δὲ τὰ νῦν τὴν οὐσίαν ζητεῖσθαι τοῦ Διός.

τὸν οὐδέποτ᾽ ἄνδρες: μετέβη ἐπὶ τὸν κατ᾽ ἐπωνυμίαν Δία τὸν φυσικόν, ὅς ἐστιν ἀήρ· καὶ γὰρ τὸν ἀέρα Δία λέγουσιν· οὗτος γάρ ἐστι κατὰ τοὺς Στωϊκοὺς ὁ διὰ πάντων διήκων. ἔνιοι γοῦν φασὶ τὸν Πρωτέα τοῦτον εἶναι τὸν ἀέρα· αἰνίττεται γὰρ καὶ Ὅμηρος λέγων "γίγνετο δ᾽ ὑγρὸν ὕδωρ καὶ δένδρεον ὑψιπέτηλον καὶ πῦρ." οὗτος γάρ ἐστι πηγὴ πάντων, καὶ ἐξ αὐτοῦ... ὁ δὲ λόγος, ὅντινα (τὸν Δία) οὔ ποτε ἄῤῥητον καὶ ἀπροσηγόρευτον ἐῶμεν οἱ ἄνθρωποι. εἰκότως· οἱ γὰρ Στωϊκοὶ ὑποτίθενται, μᾶλλον δὲ πάντες οἱ ὅρον φωνῆς γράψαντες πεπληγμένον ταύτην ἀέρα καλοῦσιν. οὐδέποτε γὰρ αὐτὸν ἄῤῥητον ἐῶμεν, ἀεὶ δι᾽ αὐτοῦ τὰς ῥήσεις ποιούμενοι· οὐδὲν γὰρ ἔστιν ὃ μὴ πεπλήρωται ἀέρος. Ἡσίοδος "πάντα ἰδὼν Διὸς ὀφθαλμὸς" τὸν ἀέρα οὕτω καλῶν.

2. μεσταὶ δέ: τοῦτο ἐνδεικτικόν ἐστι τῆς προνοίας, δι᾽ ἣν ἡ ζωή τε ἡμῖν καὶ ἡ εὐζωΐα ἀπαντᾷ. τουτὶ γὰρ τὰ δύο ὀνόματα συντεθέντα δηλοῖ, τό τε τοῦ Διὸς καὶ τὸ τοῦ Ζηνός.

5. τοῦ γὰρ καὶ γένος ἐσμέν: πρὸς τὸ "πατὴρ ἀνδρῶν τε θεῶν τε." εἰ γὰρ αὐτὸς ταῦτα ἐδημιούργησε πρὸς τὸ τοῖς ἀνθρώποις βιωφελές, αὐτοῦ ἂν κληθείημεν, αὐτὸν πατέρα καὶ δημιουργὸν ἐπιγραφόμενοι. δύναται δὲ καὶ ἐπὶ τοῦ ἀέρος· αὐτὸν γὰρ ἐπισπώμενοι ὡς ἐξ αὐτοῦ ζῶμεν, ὄντος ζωτικοῦ καὶ τῆς πνοῆς ἡμῶν αἰτίου.

ἄγαν ἁρμοδίως τὸ ἐπίθετον τῷ πατρὶ τὸ ἤπιος ἀπέδωκεν.

6. δεξιὰ τὰ αἴσια λέγει καὶ τὰ πρὸς τὸν βίον συμφέροντα. οὕτω καὶ δεξιοὺς οἰωνοὺς λέγομεν τοὺς αἰσίους. ἔργον δὲ λέγει κατ᾽ ἐξοχὴν τὸ κατὰ γεωργίαν.



Digitized by Google

7. βῶλος οὐκ ἀροτή, ὡς Ἀσκληπιάδης· οὐ γὰρ δύναται μακέλλαις ἀροῦσθαι βῶλος, ἀλλὰ σκάπτεσθαι. μάκελλα δὲ ἡ μονόθεν κέλλουσα ἤγουν τέμνουσα, δίκελλα δὲ ἡ διχόθεν. τὸ δὲ γυρῶσαι (9) φυτεῦσαι, ἢ βόθρον ὀρύξαι ἐν ᾧ τὰ φυτὰ κατατίθεται, ἢ καλῶς περισπάψαι ἤγουν τὰ φυτὰ περιλαβεῖν κύκλῳ τῇ γῇ περὶ τὴν ἐπιφάνειαν πρὸς τὸ μὴ ψύχεσθαι· ἡ γὰρ θερμασία συμβάλλεται αὐτοῖς. ἢ γυρῶσαι, τοῦτ' ἔστι κύκλῳ τῶν φυτῶν γῆν σωρεῦσαι. ὁ τοίνυν Ζεὺς σημαίνει τὰς ὥρας τῆς γεωργίας καὶ τοῦ σπόρου· τὸ γὰρ λέγει ἀντὶ τοῦ σημαίνει, ὡς τὸ "Ζηνὶ φόως ἐρέουσα καὶ ἄλλοις ἀθανάτοισιν."

10. αὐτὸς γὰρ τῶν ὡρῶν σημεῖα ἐποιήσατο τοὺς ἀστέρας. ἐθέλει δὲ τὰς ἀνατολὰς αὐτῶν καὶ τὰς δύσεις δηλῶσαι, οἷον Πλειάδων ἑῴαν ἐπιτολὴν ἀρχῇ θέρους γίνεσθαι, δύσιν δὲ ἀρχῇ χειμῶνος. κακῶς δὲ οἱ γράφοντες σηματὰ τὴν τελευταίαν ὀξύνουσιν, ἵν' ᾖ τὰ δηλούμενα· θέλει γὰρ τοὺς ἀστέρας σημεῖα λέγειν τῶν καιρῶν. καλῶς δὲ τοὺς ἀστέρας σημεῖα εἶπε· καὶ γὰρ ὁ ποιητὴς τὸν κομήτην ἀστέρα σημεῖον εἶναι πολέμου λέγει "ἢ ναύτῃσι τέρας." τὸ δὲ ἐσκέψατο (11) ἀντὶ τοῦ ἐφρόντισεν, ὥστε ἑκάστου μέρους ἐνιαυτοῦ σημεῖον εἶναι, οἷον Πλειάδας ἀρότου καὶ ἀμήτου, Κύνα δὲ θέρους. τὸ δὲ ἑξῆς, αὐτὸς γὰρ τά γε σήματα (ἤγουν τὰ ἄστρα) σημεῖα ἐστήριξεν. ἐσκέψατο δὲ ἀντὶ τοῦ ἐθεώρησεν, ἐτήρησεν, ἐνόησεν, ἔγνω ποιῆσαι ὁ τὰ πάντα δημιουργήσας θεός. ἡ δὲ διάνοια τοιαύτη ἐστί· παρορμᾷ ὁ Ζεὺς τοὺς ὄχλους πρὸς ἀντίληψιν τῶν εἰς τὸν βίον ἐπιτηδείων, σημαίνων τοὺς οἰκείους χρόνους ἐκ τῶν ἐτησίων ὡρῶν, ἔαρος θέρους φθινοπώρου καὶ χειμῶνος. τὸ δὲ ἐστήριξε (10) φησίν, ἐπειδὴ ἀκίνητοί εἰσιν οἱ ἀπλανεῖς καθ' αὑτούς· συμπεριάγονται δὲ τῇ τῶν ὅλων ῥύμῃ. ἰστέον δὲ ὅτι ἀστὴρ μέν ἐστιν ὃ καὶ μόνον ἐστὶ καὶ οὐ καθ' αὑτὸν κινεῖται, οἷον Κρόνος Ζεὺς καὶ τὰ τοιαῦτα· ἄστρον δὲ τό τε κινούμενον καὶ τὸ ἐκ πλειόνων ἀστέρων σύστημα, οἷον Καρκίνος Λέων. καὶ ἐπιτολὴ δέ τινος ἀστέρος νεωτερίζουσά τι τῶν περιγείων ἄστρον λέγεται, οἷον Ἀρκτούρου ἐπιτολή. λέγεται δὲ καὶ ὁ ἥλιος ἄστρον ἰδίως· παρὰ δὲ Πινδάρῳ "ἄστρον ὑπέρτατον." νῦν δὲ ὁ Ἄρατος τοὺς ἀστέρας ἄστρα εἴρηκεν.

14. πρῶτόν τε καὶ ὕστατον ἀντὶ τοῦ διὰ παντὸς χρόνου, καθ' ἑκάστην ὥραν. καὶ Πλάτων ἐν νόμοις "ὁ μὲν θεὸς ἀρχήν τε καὶ τελευτὴν καὶ μέσα ἔχων εὐθέα περαίνει κατὰ φύσιν πορευόμενος." ἴσως δὲ ἀπὸ τῶν σπονδῶν, τῷ τὴν μὲν πρώτην σπονδὴν εἶναι θεῶν τῶν Ὀλυμπίων, δευτέραν δὲ ἡρώων καὶ τρίτην Διὸς σωτῆρος. Ὅμηρος δὲ ἐπὶ τοῦ βασιλέως "ἐν σοὶ μὲν λήξω, σέο δ' ἄρξομαι."

16. τὸ αὐτός τε καὶ προτέρη γενεὴ ἀμφότερα ἐπὶ τοῦ Διός, ὡς ἂν εἰ ἔλεγε, χαῖρε, ἐπεὶ αὐτὸς εἶ καὶ ἡ προτέρα γενεά. οἱ δὲ προτέραν γενεὰν τοὺς Τιτᾶνας φασίν, οὓς καλεῖσθαι τὰ νῦν οὐδένα λόγον ἔχει ἤδη καταταρταρωθέντας ὑπὸ τοῦ Διός. ἢ τοὺς ἀδελφοὺς νοητέον τοῦ Διός·

πρότερον γὰρ γεγόνασι καθ' Ἡσίοδον. ἢ προτέραν τὴν ἑαυτοῦ φησὶν ὁ ποιητὴς γενεὰν, τοὺς πρώτους καὶ πρὸ αὐτοῦ ἀστρονόμους. βέλτιον δὲ τοὺς ἥρωας νοεῖσθαι, ὧν καὶ τὰ πολλὰ τῶν ἄστρων ἐπώνυμα, οἷον Περσεὺς Ὠρίων.

17. μειλιχίας τὰς Μούσας λέγει, ὅτι πρὸς πάντας καὶ καθόλου εὐμενεῖς εἰσί. τὸ δὲ τεκμήρατε (18) ἀντὶ τοῦ πιστώσασθε, ἀπὸ τοῦ τεκμηρίου. ἢ εἰς τέλος ἀγάγετε· τέκμωρ γὰρ τὸ τέλος, καὶ τέκμαρ. ἄλλοι δὲ δείξατε.

19. λέγει ὅτι οἱ ἀπλανεῖς ὁμοίως ἕλκονται, οὐ μὴν καὶ κινοῦνται· στηρίζονται γὰρ καὶ ἀναποδίζουσιν. οὐρανῷ δὲ ἕλκονται (20) ἀντὶ τοῦ σὺν τῷ οὐρανῷ φέρονται. οἱ γὰρ ἀπλανεῖς πάντες ὡς πρὸς αἴσθησιν ἐπὶ μιᾶς κείμενοι ἐπιφανείας ὁμοίως συμπεριάγονται παντὶ μέρει τοῦ οὐρανοῦ, ὁμοιοταχῶς, οὐ μὴν ἰσοταχῶς. ὁμοιοταχεῖς μὲν γάρ εἰσιν ἀστέρες οἱ τὰς ὁμοίας περιφερείας ἐν ἴσῳ ἔχοντες χρόνῳ καὶ διανύοντες, ἰσοταχεῖς δὲ οἱ τὰς ἴσας περιφερείας ἐν ἴσῳ χρόνῳ ἔχοντες καὶ κινούμενοι· ὁμοιοταχῶς γὰρ κινοῦνται οἱ ἐπὶ τοῦ ἰσημερινοῦ τοῖς ἐπὶ τοῦ πόλου κειμένοις, οὐ μὴν καὶ ἰσοταχῶς. τὸ μὲν οὖν ὁμῶς περισπαστέον, ἵν' ᾖ ἀντὶ τοῦ ὁμοίως· παροξυνόμενον μὲν γὰρ ἐναντιωματικός ἐστι σύνδεσμος, περισπώμενον δὲ ἐπίρρημά ἐστι μεσότητος, ἀπὸ τοῦ ὁμοίως κατὰ συγκοπὴν γινόμενον. ἡ δὲ τοιαύτη συγκοπὴ Δωριέων ἐστίν· ἐκεῖνοι γὰρ τοὺς ὁμότριχας ὄτριχάς φασι καὶ τοὺς ὁμοετεῖς ὀετεῖς καὶ τοὺς μονώνυχας μώνυχας καὶ τὸ τρέμειν τρεῖν. τὸ δὲ πολέες ἀπὸ τῆς πολύς εὐθείας. δύο γάρ εἰσι τριγενῆ ταὐτὸ σημαίνοντα, ὁ πολλός - ἡ πολλή - τὸ πολλόν καὶ ὁ πολύς - ἡ πολεῖα - τὸ πολύ. τοῦ μὲν οὖν πρώτου ποιηταῖς μὲν πᾶσα ἡ κλίσις εὔχρηστος κἂν τοῖς τρισὶ γένεσι, λογογράφοις δὲ πλὴν τῆς ἀρσενικῆς εὐθείας καὶ αἰτιατικῆς καὶ κλητικῆς, ὡσαύτως δὲ καὶ οὐδετέρου· οὔτε γὰρ ὁ πολλός φαμὲν οὔτε τὸ πολλόν. τοῦ δὲ δευτέρου ποιηταῖς μέν, τοῦ θηλυκοῦ ὄντος πάντῃ ἀχρήστου, ἡ τοῦ ἀρσενικοῦ καὶ οὐδετέρου κλίσις πᾶσά ἐστιν εὔχρηστος· λογογράφοις δὲ καὶ αὐτοῖς τοῦ θηλυκοῦ ὄντος πάντῃ ἀχρήστου (οὐδὲ γὰρ εὕρηται ὅλως ἡ πολεῖα) τοῦ ἀρσενικοῦ καὶ οὐδετέρου αἱ εὐθεῖαι μόναι καὶ αἰτιατικαὶ καὶ κλητικαί εἰσιν εὔχρηστοι, λαμβανόμεναι ἀντὶ τῶν ὁμοίων ἀχρήστων πτώσεων τοῦ πρώτου. τοῦ δὴ οὖν πολλός καὶ τῶν συστοίχων αὐτῷ ἀεὶ δυσὶ λλ γραφομένων, τὸ πολύς καὶ τὰ τούτῳ σύστοιχα δι' ἑνὸς γράφεται. τὸ δὲ ἄλλυδις ἐπίρρημα τοπικὸν ὂν ἀπὸ τοῦ ἄλλῃ ἐπιρρήματος γίνεται, ὥσπερ καὶ τὸ ἄμυδις ἀπὸ τοῦ ἅμα. καὶ δὴ σημειωτέον ὅπως τοῦ ἅμα δασυνομένου τὸ ἄμυδις ψιλοῦται. τοῦτο δὲ καὶ ἐπ' ἄλλων πολλῶν ἴδοι τις ἄν, τῶν πρωτοτύπων δηλαδὴ δασυνομένων, ψιλουμένων δὲ τῶν ἐξ ἐκείνων παραγομένων. αὐτίκα τὸ Ὄλυμπος ἀπὸ τοῦ ὅλος δασυνομένου παραγόμενον (ὡσανεὶ ὁλόλαμπος) ψιλοῦται, καὶ τὸ ἦδος ἀπὸ τοῦ ἡδονή, καὶ τὸ ἦμαρ ἀπὸ τοῦ ἡμέρα. τὸ μὲν οὖν ἄμυδις καὶ Ὄλυμπος μετέβαλε τὸ πνεῦμα διὰ τὸ



Digitized by Google

τὸ μετὰ τὸ πρῶτον σύμφωνον φωνῆεν μεταβληθῆναι εἰς ῡ, τὸ δὲ ἦμαρ καὶ ἦδος διὰ τὸ γενέσθαι τροχαϊκά. τὸ δὲ ἐόντες πολλοὶ τῶν γραμματικῶν ἰόντες ἔγραψαν, καὶ φασὶ πάντας τȣ̀ς ἀςέρας πορεύεσθαι· Ἀράτῳ δὲ περὶ τῶν φαινομένων καὶ ἀπλανῶν ἀςέρων ἐςὶν ὁ λόγος, ȣ̓ τῶν πλανητῶν, οἳ δὴ ἀπλανεῖς ἀεὶ ἐπὶ τοῦ αὐτȣ̃ ἑςήκασι, καὶ μόνον συγκαταφέρονται καὶ ἀναφέρονται τῷ ȣ̓ρανῷ, καὶ ὑπὸ τȣ̃ ȣ̓ρανȣ̃ κινȣ̃νται καὶ φέρονται πᾶσαν ἡμέραν. καὶ ἐπειδὴ τȣ̃το ȣ̓κ ἤρκει, προσέθηκε κατὰ πᾶσαν ὥραν καὶ ἡμέραν. μάλιςα δὲ προσέθηκε τὸ αἰεί, ἐπειδὴ ἀδιαλείπτως ὁ ȣ̓ρανὸς κινεῖται, καθά φασιν οἱ ποιηταί, καὶ οἱ φυσικοὶ μηδὲν εἶναι εἰς κίνησιν ȣ̓ρανȣ̃ ὀξύτερον· σκόπησον γὰρ πῶς ἀπὸ τȣ̃ πρώτȣ πέρατος τȣ̃ ἀνατολικȣ̃ ἐν ιβʹ ὥραις εἰς τὸ ἄλλο δυτικὸν ἔρχεται πέρας. τὸ ȣ̓̃ν ἤματα ἀντὶ τȣ̃ νυχθήμερον ἀκȣςέον.

20. *συνεχὲς αἰεί:* ἀντὶ τοῦ ἀδιαλείπτως, ὡς εἴρηται. διαφέρει δὲ τὸ συχνόν τοῦ συνεχȣ̃ς, καίτοι γε ἀπ᾽ αὐτȣ̃ ὡς ἔοικε παραγόμενον μετατεθέντος τȣ̃ ν̄. τὸ μὲν γὰρ συνεχές τὸ ἀδιαλείπτως ποιεῖν τι σημαίνει, τὸ δὲ συχνόν τὸ πολλάκις μέν, οὐ μὴν δὲ καὶ ἀδιαλείπτως· διὸ καὶ οὐ καλῶς ἔχει λέγειν "συνεχῶς γράφω πρὸς σέ," ἀλλὰ συχνῶς ἢ πυκνῶς ἢ θαμά. ἰςέον δὲ ὅτι εἰ καὶ ἡ σύν πρόθεσις βραχυκαταληκτεῖ ὥσπερ καὶ αἱ λοιπαὶ προθέσεις πλὴν τῆς εἰς καὶ ἐξ, ὅμως ἐνταῦθα ἀντὶ μακρȣ̃ λαμβάνεται. εὕρηται δὲ καὶ ἐν ἄλλοις τὸ τοιȣ̃το.

21. *μετανίσσεται:* μεταςρέφεται· νίσσομαι γὰρ τὸ ςρέφομαι. ἔοικε δὲ ἀπὸ τȣ̃ νέομαι, ποιητικῶς τὸ πορεύομαι, ȣ̓ ὁ μέλλων νήσομαι, παράγεσθαι διπλασθέντος τȣ̃ σσ, ἵν᾽ ᾖ ἐνεςώς· ȣ̓δέποτε γὰρ ἐνεςὼς ἓν σ̄ ἔχει· τȣ̃ μέλλοντος γὰρ τοῦτο. καὶ ἐπειδὴ πρὸ τῶν δύο σσ οὔτε ει δίφθογγος εὑρίσκεται ȣ̓́τε η̄, εἰ μὴ τὸ κρεῖσσον καὶ τὸ ἧσσον καὶ ὅσα ἀπὸ τȣ́των, διὰ τȣ̃το μεταβέβληται τὸ η̄ εἰς ῑ, ὥσπερ καὶ ἀπὸ τȣ̃ ἑλῶ ἑλήσω ἑλίσσω τὸ συςρέφω. ἰςέον δὲ ὅτι ἡ τȣ̃ ȣ̓ρανȣ̃ κίνησις γίνεται ἔκ τινων ἀναθυμιάσεων κατὰ τȣ̀ς φυσικȣ́ς, αἵτινες ἀναθυμιάσεις ῥυθμῷ τινὶ αὐτὸν κινȣ̃σιν. οἱ μὲν ȣ̓̃ν ἀςέρες, πολλοὶ ὄντες κατ᾽ ἄλλȣς ἄλλοι τόπȣς κατεςηριγμένοι, συμπεριφέρονται τῷ ȣ̓ρανῷ καθ᾽ ἑκάςην. ὁ δὲ νοȣ́μενος ἄξων ȣ̓δὲ κατ᾽ ὀλίγον κινεῖται, μένει δὲ ἀσάλευτος, ἔχων τὴν γῆν μέσην καὶ ἰσόῤῥοπον. περὶ δὲ τὸν ἄξονα ὑπὸ τῆς ἑαυτȣ̃ δίνης κινεῖται ὁ ȣ̓ρανὸς ἀλλήκτῳ κινήσει. ȣ̓ρανὸς μὲν ȣ̓̃ν ἐςὶν ὁ περιέχων τὰ ἄλλα πάντα σωματικὰ πλὴν αὐτοῦ, ἄξων δέ ἐςι διάμετρος τοῦ κόσμου εὐθεῖα διὰ τῶν πόλων ἐπιζευγνυμένη, μέσην μὲν ἔχȣσα τὴν γῆν, τȣ̀ς δὲ δύο πόλȣς πέρατα· καὶ ἡ σφαῖρα περὶ ταῦτα μένοντα ςρέφεται. τὸν ἄξονα οὖν δεῖ νοεῖν ἀσώματον γραμμὴν ἀπὸ τȣ̃ βορείȣ πόλȣ καὶ μέχρι τȣ̃ νοτίȣ διὰ μέσης πεφυκυῖαν τῆς γῆς, ᾗ συμβέβηκε κέντρον εἶναι τȣ̃ κόσμȣ, τῇ ἰδίᾳ φύσει, καθ᾽ ἣν ἀμετακίνητός ἐςιν, ἀσάλευτον αὐτῇ παρέχȣσαν τὴν θέσιν. τὰ δὲ πέρατα τȣ̃ ȣ̓ρανȣ̃, ἃ δὴ παρὰ τοῖς ἄκροις τȣ̃ ἄξονος ἐξ ἑκατέρȣ τῶν μερῶν νοȣ̃νται, πόλοι καλȣ̃νται.

22. *ἀτάλαντον ἁπάντῃ:* διήκων γὰρ διὰ παντὸς τοῦ οὐρανοῦ εἰκότως τὴν γῆν κέντρον περιέχει, καὶ διαπείρει αὐτὴν μέσην. τὰ πλευρὰ τοίνυν τὰ παρ᾽ ἑκάτερα τοῦ ἄξονος τῆς γῆς ἴσην αὐτὴν ἔχει, ὑπ᾽ αὐτοῦ ταλαντευομένην· ἴσην γὰρ αὐτὴν ἐξ ἑκατέρου μέρους ποιεῖ αὐτὸς μέσος ἰὼν καὶ εἰς δύο αὐτὴν τέμνων. ἢ ἀτάλαντον ἁπάντῃ, δηλαδὴ ἴσην καὶ ὁμοίαν· καὶ αὐτὴ γὰρ σφαιροειδὴς καὶ ὁ οὐρανός. καὶ Ἡσίοδος "Γαῖα δέ τοι πρῶτον μὲν ἐγείνατο ἶσον ἑαυτῇ Οὐρανὸν ἀστερόεντα." ἢ ἀτάλαντον τὴν ἴσην κατὰ τὸ διάστημα ὡς πρὸς τὰ δύο ἡμισφαίρια· ὅσον γὰρ ἀπὸ τοῦ ὑπὲρ αὐτὴν τὸ ὕψος ἡμισφαιρίου, τοσοῦτον τοῦ ὑπ᾽ αὐτὴν τὸ μῆκος ἄλλου ἡμισφαιρίου· αὐτὴ γὰρ ἐν μέσῳ τῶν δύο ἡμισφαιρίων κεῖται.

23. *περὶ δ᾽ οὐρανός:* πολλὴ καὶ διάφορος ἐνταῦθα ἡ περὶ τὴν γραφὴν ἐγένετο ζήτησις τοῖς μαθηματικοῖς καὶ γραμματικοῖς. οἱ μὲν γὰρ γραμματικοὶ ἀγνοήσαντες εἶπον, περιάγει ὁ οὐρανὸς τὸν ἄξονα. ἔστι δὲ τοῦτο τῶν ἀτοπωτάτων· εἰ γὰρ ἀκίνητον αὐτὸν ἀπεδώκαμεν, καὶ αὐτοῦ τοῦ Ἀράτου ἄντικρυς εἰπόντος *ἀλλὰ μάλ᾽ αὔτως ἄξων αἰὲν ἄρηρεν*, πῶς αὐτοὶ περιάγεσθαι αὐτὸν φασίν; οἱ δὲ μαθηματικοὶ τὸ *αὐτόν* δασύνουσιν, ἵν᾽ ᾖ ἑαυτόν. δύναται δὲ καὶ ψιλούμενον σώζειν τὸν λόγον, ἤγουν περὶ αὐτὸν τὸν ἄξονα ὁ οὐρανὸς πάντα τὰ ἄστρα ἀγινεῖ καὶ περιφέρει· οὐ γὰρ δὴ ὁ ἄξων τὸν οὐρανὸν περιάγει, ἀλλ᾽ ὁ οὐρανὸς ἀφ᾽ ἑαυτοῦ στρέφεται. εἰ δὲ καί τισιν εἴρηται τὸν ἄξονα φέρειν τὸν οὐρανόν, ἀλλ᾽ ᾧ τρόπῳ τὸν χρόνον πάντα φέρειν φαμὲν καὶ τὴν ὁδὸν τοὺς ὁδοιπόρους.

24. *πειραίνουσιν* ἀντὶ τοῦ περατοῦσι· τὰ γὰρ τοῦ ἄξονος πέρατα δύο πόλοι εἰσίν, οὓς καὶ αὐτὸς ἐπάγει. πόλοι δὲ εἴρηνται διὰ τὸ περὶ αὐτοὺς τὸν οὐρανὸν στρέφεσθαι. γραμμὴ δέ ἐστιν εὐθεῖα ἀρξαμένη ἀπὸ σημείου καὶ εἰς σημεῖον λήγουσα· ἀπὸ γάρ τινος ἀρχῆς ποιησάμενοι τὴν ἀρχὴν τῆς γραμμῆς εἴς τι τέλος ἐλήξαμεν. ἡ οὖν εὐθεῖα γραμμὴ τοῦ ἄξονος τοὺς δύο πόλους ἔχει τοὺς ἀπὸ σημείου εἰς σημεῖον.

25. *ὁ μέν:* οὐκ ἐσαφήνισεν ὁποῖον λέγει, ἀλλὰ διὰ τοῦ ἐπιφερομένου ἐδήλωσεν ὅτι τὸν νότιον λέγει. ζητητέον δὲ τί δήποτε τὴν ἀρχὴν ἐθέλων ποιήσασθαι πρῶτον τοῦ νοτίου ἐμνήσθη. καὶ φαμὲν ὅτι ἔμελλε διατρίψειν ἐν τῷ βορείῳ πόλῳ, καὶ διὰ τοῦτο τὸν νότιον προέταξε τοῦ βορείου. αἱ δὲ μεταχειρήσεις Ὁμηρικαὶ καὶ λαμπραί, καὶ προσεχὴς ἡ τοῦ ποιήματος ἀρχή.

26. *ὑψόθεν ὠκεανοῖο:* ὑψηλότερος γάρ ἐστι καὶ ἀειφανής, οὐδέποτε δυόμενος. καὶ Ὅμηρος δὲ περὶ τῆς Ἄρκτου ταύτης φησὶν "οἴη δ᾽ ἄμμορός ἐστι λοετρῶν ὠκεανοῖο·" μόνη γὰρ οὐ δύεται τῶν ἄλλων δυομένων. Ἄρκτοι δὲ εἴρηνται οἱονεὶ ἄκραι καὶ κεφαλαὶ τοῦ κόσμου. ὠκεανὸν δὲ τὸν ὁρίζοντα ὁ Ἄρατος λέγει ποιητικῶς· ὁρίζων μὲν γάρ ἐστι μεθ᾽ ὃν οὐδὲν ἡμῖν ὁρᾶται, ὡσαύτως δὲ καὶ μετὰ τὸν ὠκεανὸν οὐδὲν ἡμῖν ἐστὶ γνωστόν. ὠκεανὸς δὲ ἡ ἐκτὸς καὶ μεγάλη θάλασσα καλεῖται, παρ᾽ ὅσον

Digitized by Google

ὠκέως ῥεῖ. κύκλῳ δὲ τὴν καθ' ἡμᾶς περίκειται οἰκουμένην· ἐξ αὐτοῦ δὲ καὶ εἰς αὐτὸν αἵ τε δύσεις καὶ ἀνατολαὶ γίνονται. ὡς δὲ ἀλλαχοῦ, οὕτω καὶ ἐνταῦθα παρηκολούθησεν Ὁμήρῳ εἰπόντι ὠκεανὸν τὸν ὁρίζοντα· δημιουργῷ γὰρ ἐκεῖνος τῷ Ἡφαίστῳ χρησάμενος τὴν τοῦ Ἀχιλλέως ἀσπίδα ποιεῖ, ἣν ὑπέθετο κόσμου μίμημα, ὅπου δὴ τελευταῖον τὸν ὠκεανὸν ἐποίησεν. ὁ δὲ Ἡρόδοτος οὐ παραδέχεται τὸν ὠκεανόν, τὸ σύμπαν δὲ λέγει πλάσμα εἶναι ποιητικόν· Ἀτλαντικὸν δὲ αὐτὸ πέλαγος καλεῖ.

μ ι ν: τὸν βόρειον πόλον δηλονότι.

27. περὶ τὸν βόρειον πόλον Ἄ ρ κ τ ο ι ἅ μ α τ ρ ο χ ό ω σ ι ν ἤγουν τρέχουσι· διὰ γὰρ τοῦτο ἅ μ α ξ α ι ὠνομάσθησαν. διτταὶ δέ εἰσιν, ὧν τὴν μὲν Ναύπλιος εὗρε, τὴν δὲ δευτέραν τὴν ἐλάσσονα Θαλῆς ὁ σοφός. λέγει δὲ τὴν ἐλάσσονα εἰκόνα κυνὸς εἶναι, ἥτις ἦν Καλλιστοῦς, ἥτις συγκυνηγὸς ἦν τῇ Ἀρτέμιδι. ἀποθανούσης δὲ αὐτῆς συναπέθανε καὶ ἡ κύων. τὸ δὲ ὄνομα ἔχει διὰ τὸ κυνὸς οὐρὰν ἔχειν.

τ ὸ δ ὴ κ α λ έ ο ν τ α ι: διότι, φησίν, ἐπιφύονται ἀλλήλαις, διὰ τοῦτο καλοῦνται ἅμαξαι· καὶ γὰρ ἐπιεικῶς ἐν ταῖς ὁδοῖς ἀκολουθοῦσιν ἀλλήλαις αἱ ἅμαξαι ἰσοταχέσι βουσὶ χρώμεναι ἐν τῇ πορείᾳ. διαγράφεται δὲ ἐν ἑκατέρῳ πλινθίον τι καὶ ὁ ῥυμός· ῥυμὸς δὲ ἦν ἡ οὐρά. ἡ μὲν οὖν Ἄρκτος κυρίως, ἅμαξα δὲ κατ' ἐπίκλησιν. τὴν μίαν δὲ τούτων τῶν Ἄρκτων τὴν μεγάλην, ἣν μετ' ὀλίγον ὀνομάσει Ἑλίκην, Ἡσίοδός φησι Λυκάονος θυγατέρα εἶναι, καὶ ἐν Ἀρκαδίᾳ κατοικοῦσαν ἑλέσθαι μετὰ Ἀρτέμιδος τὴν περὶ τὰς θήρας ἀγωγὴν ἐν ὄρεσι ποιεῖσθαι, φθαρεῖσαν δὲ ὑπὸ Διὸς καὶ ἤδη μέλλουσαν τεκεῖν ὀφθῆναι ὑπ' αὐτῆς λουομένην· ἐφ' ᾧ ὀργισθεῖσαν τὴν Ἄρτεμιν θηριῶσαι αὐτήν, καὶ οὕτω τεκεῖν ἄρκτον οὖσαν τὸν κληθέντα Ἀρκάδα· οὖσαν δὲ ἐν τῷ ὄρει θηρευθῆναι ὑπ' αἰπόλων τινῶν καὶ παραδοθῆναι Λυκάονι μετὰ τοῦ βρέφους· μετὰ χρόνον δέ τινα δόξαι εἰσελθεῖν εἰς τὸ Λύκαιον, ὅ ἐστι τοῦ Διὸς ἄβατον, ἀγνοήσασαν τὸν νόμον, ὑπὸ τοῦ ἰδίου υἱοῦ διωκομένην. τῶν Ἀρκάδων δὲ αὐτὴν ἀναιρεῖν μελλόντων διὰ τὸν εἰρημένον νόμον, ὁ Ζεὺς διὰ τὴν συγγένειαν αὐτῆς ἐξείλετο καὶ ἐν τοῖς ἄστροις ἔθηκεν, Ἄρκτον αὐτὴν ὀνομάσας διὰ τὸ σύμπτωμα. ἔχει δὲ ἀστέρας ἐπὶ τῆς κεφαλῆς ζ' ἀμυδρούς, ἐφ' ἑκατέρων τῶν νώτων ς', β' ἐπὶ ταῖς ὠμοπλάταις, β' ἐπὶ τοῖς ἔμπροσθεν ποσί, β' ἐπ' ἄκρων τῆς ῥάχεως, ἕνα λαμπρὸν ἐπὶ τοῦ ὀπισθίου σκέλους, β' ἐπ' ἄκρων τῶν ποδῶν, β' ἐπὶ τῆς κέρκου· οἱ πάντες κδ'. οὐ χρὴ δὲ ἐν τῷ οὐρανῷ τινὰ οἴεσθαι ἄρκτους καὶ ἁμάξας. ἀλλὰ πέντε αἰτίας εὐλόγως τίθενται τῆς ἀστροθεσίας· ἢ γὰρ καθ' ὁμοίωσιν τοὔνομα τῷ ἄστρῳ, ὥσπερ ὁ Σκορπίος· ἢ κατὰ πάθος, ὡς ὁ Κύων (δοκοῦσι γὰρ ἐπὶ τῇ ἐπιτολῇ τοῦ Κυνὸς λυττᾶν οἱ χερσαῖοι κύνες)· ἢ μυθικῶς, ὡς ἡ μεταβληθεῖσα Καλλιστὼ εἰς ἄρκτον· ἢ κατὰ τιμήν, ὡς οἱ Διόσκουροι Δίδυμοι· ἢ διορισμοῦ καὶ διδασκαλίας χάριν, ὡς τὰ πολλὰ τῶν ζῳδίων. αἱ τοίνυν ἄρκτοι ἅμαξαι μὲν καθ' ὁμοιότητα, ἄρκτοι δὲ μυθικῶς.

Digitized by Google

*Διὰ τῦτο, φησί, διὰ τὸ τρέχειν ὡς ἅμαξαι, ταύτην τὴν ὀνομασίαν ἔχϐσιν. ἢ διὰ τὸ ἔχειν σχῆμα ἁμάξης, τῶν δ' ἀςέρων ἀντὶ τροχῶν παραλαμβανομένων, τῶν δὲ γ' τῆς οὐρᾶς ἀντὶ ῥυμϐ. ἢ ἅμαξαι λέγονται διὰ τὸ ἅμα ἐν τῷ ἄξονι καὶ τῇ τέτϐ ἀρχῇ εἶναι. ἢ ὅπερ ἐπὶ τῆς μιᾶς λέγεται, τῦτο καὶ ἐπὶ τῶν δύο εἴληφε· κυρίως γὰρ ἡ Ἑλίκη ἅμαξα λέγεται· οἱ γὰρ ζ' ἀςέρες ἁμάξης τύπον ἐπέχϐσιν, οἱ μὲν ἐπὶ τῦ πλινθίϐ δ' (πλινθίον δὲ λέγεται παρὰ τοῖς γεωμέτραις πᾶν τετράγωνον), οἱ δὲ ἐπὶ μῆκος τὸν ῥυμὸν πληρῦσι. δείξομεν δὲ καὶ παρ' Ὁμήρῳ τὸ ἐφ' ἑνὸς λεγόμενον καὶ ἐπὶ τῶν δύο ληφθέν. "δοῦρε δ' ἀκόντιζεν ὅσον οὐκ ἄλλος τις ὀϊςῷ." τὸ γὰρ ἀκοντίζειν ἴδιον μόνον ἐπὶ τῦ δόρατος· ὁ δὲ καὶ ἐπὶ τοῦ ὀϊστοῦ αὐτὸ ἔθηκεν.*

28. *ἐπὶ τὰς ἀλλήλων ἰξύας τὰς κεφαλὰς ἔχϐσι τετραμμένας, ὐκ ἐπὶ τὰς αὐτῶν, ὡς Ἀρίσταρχος ὁ γραμματικὸς ᾠήθη τὰς κεφαλὰς αὐτῶν πρὸς τὴν ἰδίαν ἰξὺν ἐπιςρέφεσθαι, παρὰ τὸ φαινόμενον· ὁρῶσι γὰρ εἰς τὐμπροσθεν καὶ ὐκ εἰσὶ πρὸς ἑαυτὰς ἀνατετραμμέναι. ἡ δὲ ἰξὺς καὶ ἄκνηςις λέγεται, ἣν οὐκ ἔξεστι ξύσαι οὐδὲ ῥᾷον κνῆσαι.*

30. *ὁ Ἄρατος τὸ ἑαυτῦ ποίημα καὶ ποιητικόν πως θελήσας εἶναι, ἀλλ' ὐχὶ μόνον φυσικόν, ὅπερ ἴδιόν ἐςὶ ποιητῦ, τὸν μῦθον λέγει κατὰ καιρὸν καὶ ὐκ ἀπιθάνως μεταχειρίζεται· καὶ ὡς μὲν ποιητὴς παρεισάγει, ὡς δὲ περὶ φυσικῶν διαλεγόμενος ὐ πάνυ τῷ μύθῳ συντρέχειν δοκεῖ. ἐπήγαγε γῦν τὸ εἰ ἐτεὸν δή, ὅπερ ἐςὶ διςαγμῦ ἦγϐν τῦ ἀμφιβάλλοντος. ὁ δὲ μῦθος βούλεται ταύτας ἀνατραφῆναι ἐν Κρήτῃ, ὅτε τὴν πυῤῥίχην, ἥ ἐστιν ἔνοπλος ὄρχησις, ὀρχϐμενοι οἱ Κορύβαντες ἐπὶ ὅλον ἐνιαυτὸν τὸν Δία ἔθρεψαν, λανθάνοντες τὸν Κρόνον.*

33. *Δίκτον ἀκρωτήριον τῆς Κρήτης, πλησίον τῆς Ἴδης τῦ Κρητικῦ ὄρϐς, ἔνθα ἐςὶν (ἀλσίϐ M) Ἀλυσίϐ Διὸς τέμενος παρὰ τὸ παρακείμενον (ἄλσος M) ἐκεῖ ὄρος Ἄλυσις. ἔδει δὲ εἰπεῖν Δίκτῃ· ἀλλ' οἱ ποιηταὶ εἰώθασι τὰ γένη ἐναλλάσσειν, ὡς χώρα χῶρος, ὠνὴ ὦνος. ὕτως ὐν καὶ Δίκτη Δίκτος. λέγεται δ' ὕτως παρὰ τὸ τὸν Δία ἐκεῖσε τεχθῆναι. εὐώδει δὲ διὰ τὴν ἐκεῖσε φυομένην βοτάνην τὴν καλϐμένην δίκταμον.*

*τινὲς γράφϐσι σχεδὸν Αἰγαίοιο, παρὰ Ἡσιόδϐ λαβόντες, φάσκοντος τὸν Δία ἐν Αἰγαίῳ ὄρει πεπυκνωμένῳ (πεπυκασμένῳ ἐλόεντι M) ἐν Κρήτῃ τραφῆναι. εἰ δὲ μηδὲν ἔςιν ὄρος ἐν Κρήτῃ Αἰγαῖον, ἄμεινον διαστέλλειν τῇ ἀναγνώσει οὕτως, ὃ μὶν ὅτε αὐτὸν κουρίζοντα Δίκτῳ ἐν εὐώδει, εἶτα ἀφ' ἑτέρας ἀρχῆς ὄρεος σχεδὸν Ἰδαίοιο ἄντρῳ ἐγκατέθεντο. καὶ δὴ νοητέον ὅτι ἐγεννήθη μὲν ἐν τῷ Δίκτῳ, μετεκομίσθη δὲ ἐπὶ τὸ ἄντρον τῆς Ἴδης. τοῖς ὐν ζητῦσι πῶς τὸ Δίκτον τῦ Ἰδαίϐ ὄρϐς πλησίον φησίν, ἐπὶ πλεῖςον ἀπέχον, ῥητέον ὅτι ςίζειν δεῖ εἰς τὸ εὐώδει, τὸ δὲ ὄρεος σχεδὸν Ἰδαίοιο συνάπτειν εἰς τὸ ἄντρῳ. Ζηνόδοτος δὲ ὁ Μαλλώτης δίκτον ἤκϐσε τὸ καλϐμενον δίκταμον, καὶ διὰ τῦτο καὶ εὐῶδες τῦτο εἰρῆσθαι· δοκεῖ δὲ πρὸς εὐ-*

Digitized by Google

τοκίαν συμβάλλεσθαι, διὸ καὶ τὴν Ἐλλείθυιαν τύτῳ ςέφυσι. καί πυ ἐπ᾽ αὐτῷ Εὐφορίων φησὶ "στεψαμένη Θαλεροῖσι συνήντετο δικτάμνοισι." καὶ ταῖς αἰξὶ δὲ προσφιλὴς ἡ βοτάνη· βέλει γὰρ τρωθεῖσαι ὀρύττυσιν αὐτὴν καὶ ἀποβάλλυσι τὸ βέλος. Κούρητες δὲ (35) καὶ Κορύβαντες καὶ Ἰδαῖοι Δάκτυλοι οἱ αὐτοί εἰσιν.

36. οἱ Δικταῖοι Κύρητες, φησίν, ἐκάλυν τὴν μὲν μικρὰν Κυνόσυραν διὰ τὴν τῆς ὑρᾶς ὁμοιότητα, τὴν δὲ ἑτέραν Ἑλίκην διὰ τὸ ἑλίσσεσθαι καὶ ἑλικώδη πως τὴν ὑρὰν ἔχειν. ἢ καὶ διὰ τὸ ἕλκεσθαι ὑπὸ τῦ ὑρανῦ κατ᾽ ἐξοχὴν πάντων ὠνομάσθη, ὡς ὁ λέων θὴρ κατ᾽ ἐξοχὴν εἴρηται.

37. τὴν μείζονα δηλαδὴ Ἄρκτον Ἑλίκην καλῦσι παρὰ τὰς ἕλικας καὶ συςροφὰς αὐτῆς· μείζυς γὰρ ἔχει τὰς περιφορὰς τῆς Κυνοσούρας ἅτε καὶ μείζων ὖσα κατὰ τὸ μέγεθος· ἡ μὲν γὰρ Κυνόσυρα περὶ τὸν πόλον ἐςίν, ἡ δὲ περὶ τὸν ὅλον βόρειον κύκλον. τὴν μὲν οὖν Ἑλίκην τεκμήριον οἱ Ἕλληνες ἔχουσι πλέοντες, ὅπου χρὴ τὰς ναῦς ἀγινεῖν ἤγουν στρέφειν.

39. τῇ Κυνοσύρᾳ δηλαδὴ τῇ μικρᾷ· βραχεῖα γὰρ ὖσα ἐν τῷ αὐτῷ ςρέφεται, καὶ ἔστι μᾶλλον τῆς Ἑλίκης εὐσύνοπτος, οὐ τῇ λαμπηδόνι (ἀμυδρὰ γάρ) ἀλλὰ τῷ ἐν τῷ αὐτῷ περιςρέφεσθαι· ἡ γὰρ ἑτέρα ἐν τῇ περιφορᾷ μείζονι κυκλυμένη ὐκ ἔςιν εὐσύνοπτος διὰ τὸ πολυφερές. οἱ ὖν Φοίνικες, ὡς ἀκριβέςεροι τὰ ναυτικὰ καὶ ἐμπειρότεροι τῶν Ἑλλήνων, θαῤῥῦντες παρὰ τὴν ἐλάσσω βλέπυσι· καὶ ἅμα ὁ εὑρετὴς αὐτῆς Θαλῆς εἰς Φοίνικας ἀνάγει τὸ γένος. οἱ δὲ Ἕλληνες, ἐν ἀγνωσίᾳ τῆς μικρᾶς ὄντες, πρὸς τὴν Ἑλίκην ὁρῶντες ὡς μείζονα διαπλέυσιν· ὅθεν αὐτοὺς ὁ Ὅμηρος ἑλίκωπας καλεῖ ὡς εἰς αὐτὴν τὺς ὦπας ἀνατείνοντας. οἱ δὲ λέγοντές διὰ τὸ εὐοφθάλμυς εἶναι τὺς Ἕλληνας ἑλίκωπας καλεῖσθαι ἁμαρτάνυσι· παρθένυ γὰρ τὸ ἐπίθετον.

41. πολλή: οὐ τῷ μεγέθει ἀλλὰ τῇ λαμπηδόνι. τὸ δὲ πρώτης ἀπὸ νυκτός ἀπὸ ἑσπέρας φησίν· εὐθέως γὰρ δύναντος τῦ ἡλίυ φαίνεται. ἔςι μὲν γὰρ διόλυ, ἀλλὰ μεθ᾽ ἡμέραν ὑπὸ τῦ ἡλίυ κρύπτεται.

43. ἡ δὲ Κυνόσυρα τῷ φωτὶ μὲν ὀλίγη ἐςίν (ἀμυδροτέρα γάρ), τοῖς δὲ ναυτιλλομένοις ἐπιτηδειοτέρα. καὶ ἐπιφέρει ὅτι ἐλάττονι ςροφῇ χρῆται καὶ περιφορᾷ, ὥςε ἐν τῷ αὐτῷ ςρεφομένη εὐσύνοπτός ἐςιν, οὐ μεγάλην τὴν περιφορὰν ποιυμένη καὶ ἀποπλανῶσαν τῦ τόπυ τὴν θέαν, ὡς ἡ μείζων Ἑλίκη.

45. τὰς δὲ δι᾽ ἀμφοτέρας: ἀντὶ τῦ δι᾽ ἀμφοτέρων αὐτῶν ὁ Δράκων εἱλεῖται· πτῶσις ἀντὶ πτώσεως, καὶ καλεῖται τὸ τοιοῦτο ἑλληνισμός. ἢ ὅτι διαχωρίζει ἀμφοτέρας.

ποταμοῖο: παραβάλλει τὸ πολυκαμπὲς τῶν ποταμίων ὑδάτων πρὸς τὸ τῦ Δράκοντος μέγεθος. καὶ ἐν τύτῳ δὲ Ἡσιόδου ζηλωτὴς φαίνεται· ἐκεῖνος γὰρ τὸν ποταμὸν εἴκασε δράκοντι, εἰπὼν "καί τε διερχόμενος ἠπειγμένος ἐςὶ δράκων ὥς." ὗτος δὲ τὐναντίον Δράκοντα ποτα-

μὸν ὠνόμασε, μᾶλλον δὲ ἀπείκασε. Δράκων δὲ οὗτος ὃν ἀνεῖλε Κάδμος· καθ᾽ ἑτέρους δὲ ὁ τὰ μῆλα φυλάσσων τῶν Ἑσπερίδων· ὡς δὲ ὁ πολὺς λόγος, ὁ ὑπὸ Ἀπόλλωνος ἀναιρεθεὶς Πυθών.

ἀποῤῥώξ: καὶ Ὅμηρος "νέκταρός ἐστιν ἀποῤῥώξ," οἷον ἀπόῤῥοια καὶ ἀπόσπασμα.

46. μέγα θαῦμα: καθ᾽ ὑπερβολὴν λαμπρὸς ὢν καὶ μέγας ἀμφοτέρας διέζωσε τὰς Ἄρκτους. φέρεται δὲ περὶ τοῦ Δράκοντος καὶ Κρητικὸς μῦθος, ὡς ἄρα ἐπιόντος ποτὲ τοῦ Κρόνου ὁ Ζεὺς εὐλαβηθεὶς ἑαυτὸν μὲν εἰς δράκοντα μετεμόρφωσε, τὰς δὲ τροφοὺς εἰς ἄρκτους, καὶ ἀπατήσας τὸν πατέρα μετὰ τὸ παραλαβεῖν τὴν βασιλείαν τὸ συμβὰν ἑαυτῷ καὶ ταῖς τροφοῖς τῷ ἀρκτικῷ ἐνεστήριξε κύκλῳ. ὡς οὖν εἰδὼς ὁ ποιητὴς ὅτι μετεμορφώθη εἰς δράκοντα, εἶπε (χαῖρε πάτερ add *M* e v. 15) μέγα θαῦμα. τὸ δὲ περί τ᾽ ἀμφί τε ἀντὶ τοῦ ὑπὸ τὰς Ἄρκτους καὶ περὶ τὰς Ἄρκτους κεκλασμένος.

47. αἱ δ᾽ ἄρα: αἵτινες Ἄρκτοι ἑκατέρωθεν αὐτοῦ τῆς σπείρας φέρονται, τουτέστι κυκλοῦνται, καὶ τὸν ὠκεανὸν φυλάττονται· μόναι γὰρ οὐ δύνουσι διὰ τὸ εἶναι αὐτὰς ἐν τῷ βορειοτέρῳ.

49. περὶ τῶν δύο Ἄρκτων ὁ λόγος· λέγει δέ, ὁ Δράκων θατέραν μὲν τῶν Ἄρκτων τῇ ἐσχάτῃ αὐτοῦ οὐρᾷ ἀποτέμνεται, θατέραν δὲ (τὴν Κυνόσουραν) τῇ σπείρᾳ περιτέμνεται ἤγουν λαμβάνει. τὸ δὲ ἀποτέμνεται γράφεται καὶ ἐπιτείνεται ἢ ἀποτείνεται· κατὰ γὰρ τὴν οὐρὰν ἀποτέταται ὁ Δράκων. ἐπάγει γοῦν (50) ὅτι ἡ μὲν οὐρὰ περὶ τὴν κεφαλὴν τῆς Ἑλίκης ἐστίν, ἡ δὲ σπεῖρα περιλαμβάνει τὴν τῆς Κυνοσούρας κεφαλήν. τὸ δὲ ποδὸς ἄχρις (53) ὅτι ἡ σπεῖρα φθάνει, φησίν, ἄχρι τοῦ ὀπισθίου.

54. ἡ σπεῖρα, φησίν, ἐξ ὑποστροφῆς ἀντιστρέφει. ὅπερ δ᾽ ὁ ποιητὴς ἐπὶ τοῦ φοβουμένου τὸν δράκοντα εἶπεν, "ὡς δ᾽ ὅτε τίς τε δράκοντα ἰδὼν παλίνορσος ἀπέστη," τοῦτο ὁ Ἄρατος ἐπὶ τοῦ τοιούτου δράκοντός φησι. τοιοῦτον δέ τι αἰνίττεται, ὅτι τῇ μὲν οὐρᾷ περιλαμβάνει τὴν κεφαλὴν τῆς Ἑλίκης, τῇ δὲ σπείρᾳ οὐ πάσῃ περιλαμβάνει τὴν Κυνόσουραν ἄχρι τῶν ὀπισθίων ποδῶν· εἶτα αὖθις ὡς εἰς ἀνατολὴν νεύσας πάλιν ἀποκλίνει εἰς δύσιν, καὶ τὴν κεφαλὴν ἔχει ὑπὸ τοὺς πόδας τοῦ Ἐνγόνασιν.

ἐκείνῃ ἤγουν τῇ σπείρᾳ. οὐδ᾽ οἰόθεν ἤγουν ἐξ ἑνὸς μέρους. οὐδ᾽ οἶος ἤγουν εἷς, ἀλλὰ πολλοί εἰσιν ἐπικείμενοι τῇ τοῦ Δράκοντος κεφαλῇ φαιδροὶ ἀστέρες· πέντε γάρ.

58. λίαν διδασκαλικῶς τοῦτο· ἡ δὲ κεφαλὴ αὐτοῦ λελόξωται, καὶ οὐκ ἔστιν ἀνατεταμένη ἴση, ἀλλ᾽ ὥσπερ ὀλίγον ἐπινεύουσα εἰς τὸ ἄκρον τῆς οὐρᾶς τῆς Ἑλίκης, ὥστε κατ᾽ εὐθὺ τοῦ ἄκρου τῆς οὐρᾶς ἵσταται τό τε στόμα τοῦ Δράκοντος καὶ ὁ δεξιὸς κρόταφος. ἐπιλαμβάνονται δέ τινες, λέγοντες μὴ εἶναι τὰ δεξιὰ ἀλλὰ τὰ ἀριστερά. ἀπολογητέον οὖν ὅτι καὶ οὗτος τοῦ ἀριστεροῦ κροτάφου τὸ δεξιὸν μέρος εἶπε.

62. μίσγονται: αἱ δύσεις καὶ ἀνατολαὶ πλησιάζουσιν ἀλλήλαις,

Digitized by Google

λήγουσα μὲν ἡ ἀνατολή, ἀρχομένη δὲ ἡ δύσις, κατὰ τὸν μεσημβρινὸν πόλον ἤγουν κύκλον, ὅς ἐστι μεσαίτατος πάσης τῆς σφαίρας. ἐκεῖ γὰρ γενόμενος ὁ ἥλιος μεσημβρινὸς γίνεται, καὶ λοιπὸν ἑβδόμην ὥραν ἀπ' αὐτοῦ ὡς ἐπὶ δύσιν ἄρχεται ποιεῖν. ἡ δὲ τοῦ Δράκοντος κεφαλὴ ὑπὸ τὸ πέλμα οὖσα τοῦ Ἐγγόνασι, καὶ τοῦ ὑπὸ τὸν πόδα κύκλου ἐπιψαύουσα, ἐν τῇ τοῦ οὐρανοῦ κινήσει γινομένη περὶ τὸν μεσημβρινὸν κύκλον ἐπ' ἄκροις τοῖς τοῦ ὠκεανοῦ ὕδασιν ἔρχεται. οὐ γὰρ καταδύεται, ἀλλ' ὥσπερ αὐτοῖς ἐπινήχεται· ὀλίγον γάρ ἐστι σφόδρα τὸ διορίζον. ὁ δὲ νοῦς, ἐκείνη ἡ κεφαλὴ ἡ τοῦ Δράκοντος κατὰ τοῦτο τὸ μέρος νήχεται καὶ κολυμβᾷ ἄκρῳ τοῦ ὠκεανοῦ (τουτέστι τοῦ ὁρίζοντος) ἐπιψαύουσα, ὅπου ἥ τε δύσις καὶ ἡ ἀνατολὴ ψαύουσιν ἀλλήλων, δηλονότι περὶ τὸν μεσημβρινὸν πόλον ἤγουν κύκλον. ὁ δὲ Κράτης φησὶν ὡς ὑπὸ τὸν ὁρίζοντα μίξις ἀμφοτέρων γίνεται, ὡς καὶ Ὅμηρος "ἐγγὺς γὰρ νυκτὸς καὶ ἤματός εἰσι κέλευθοι." ἐπεὶ γὰρ παρ' ἐκείνης ἡ ἡμέρα ὡρῶν κ', ἡ δὲ νὺξ δ', συναπτούσης ὅσον οὐδέπω τῆς δύσεως τῇ ἀνατολῇ, εὐλόγως τοῦτο εἴρηκεν.

63. αὐτοῦ ἀντὶ τῇ σύνεγγυς. Ἄρατος ἀπὸ τῶν ἐγνωσμένων ἤδη τὰ μὴ ἐγνωσμένα διδάσκει· ἐπειδὴ γὰρ τὰ περὶ τῆς τοῦ Δράκοντος κεφαλῆς διεξῆλθεν, ἐκ ταύτης τὸν ἐπικείμενον Ἐγγόνασι καλούμενον διδάσκει. ὁ δὲ λόγος, πλησίον τῆς κεφαλῆς ἀνδρὶ μογέοντι καὶ κάμνοντι ὅμοιος κυλίνδεται. οὐ καθ' αὑτὸν δὲ κυλίνδεται· καταφερομένῳ γὰρ τῷ οὐρανῷ συγκαταφέρεται· ἀλλὰ πρὸς τὴν θέσιν ἀποβλέπει· καὶ γὰρ ὀκλάσας καὶ καταπεσών ἐστιν ὡς ἀπό τινος καμάτου. περὶ δὲ τοῦ εἰδώλου τούτου οὐδεὶς ἱστορῆσαι ἴσχυσεν, ἀλλὰ μόνον τὸν ἐν γούνασιν αὐτὸ προσεῖπον ἤγουν ὠνόμασαν· ὀκλάζοντι γὰρ ἔοικε κατὰ τὴν θέσιν. εἴδωλον δέ ἐστιν ἀφομοίωμα ἀνθρώπου.

69. περὶ τοῦ Ἐγγούνασι βουλόμενος δεῖξαι ὅτι πάντη ἐκτεταμέναι εἰσὶν αἱ χεῖρες αὐτοῦ, τὴν ὀργυιὰν εἶπεν· ἔστι γὰρ ὀργυιὰ ἡ τῶν δύο χειρῶν ἔκτασις.

μέσσῳ δ' ἐφύπερθε: ὑπεράνωθεν δὲ τῆς κεφαλῆς τοῦ Δράκοντος ὁ Ἐγγόνασι τὸ ἄκρον τοῦ ποδὸς αὐτοῦ ἔχει τοῦ ἀριστεροῦ. τὸ δὲ δεξιτεροῦ (70) συντακτέον τῷ Δράκοντος, ἵν' ᾖ τοῦ βορειοτέρου Δράκοντος· ὁ γὰρ Δράκων βορειότερός ἐστι τοῦ Ἐγγόνασι. τὸ δεξιτερὸν δὲ σημαίνει τὸ βορειότερον. καὶ ἰστέον ὅτι εὐλογώτατα ἡμᾶς διδάσκει· ἡμῶν γὰρ ἱσταμένων πρὸς τὴν τοῦ παντὸς κίνησιν τὰ δεξιὰ μέρη εἰσὶ τὰ βόρεια, τὰ δὲ ἀριστερὰ τὰ νότια, ὥστε οὖν φυσικῶς τὸ δεξιτεροῦ ἐστὶ τὸ βορειοτέρου. ἡ δὲ τοῦ παντὸς κίνησις πρὸς δυσμὰς γίνεται.

71. τὸν κίσσινον στέφανον, ὃν ἐφόρει ὁ Διόνυσος, μετὰ θάνατον τῆς Ἀριάδνης ἰσχυροπαθῶν ἀπέθετο καὶ κατηστέρισε μνημόσυνον τῆς ἐπ' Ἀριάδνῃ συμφορᾶς· τινὲς δὲ αὐτὸν εἶναί φασιν ὃν ἔλαβεν Ἀριάδνη γαμουμένη Διονύσῳ παρὰ τῆς Ἀφροδίτης καὶ τῶν Ὡρῶν εἰς δῶρον· καταστερισθῆναι δὲ ἐπὶ μνήμῃ τῆς Διονύσου φιλίας. τὸ δὲ ἀγαυὸς ἔθη-

Digitized by Google

κεν, ἐὰν μὲν ἀγαυός ἀναγνῶμεν, ὁ Διόνυσος ἂν εἴη, ἐὰν δὲ ἀγαυόν, τὸν στέφανον δεῖ νοεῖν, ἵν' ᾖ τὸν τῆς ἐρωμένης στέφανον ἀγαυὸν καὶ ἔνδοξον καὶ ἐπίσημον καὶ λαμπρὸν ἐποίησεν ἐν τῷ οὐρανῷ· πέντε γάρ εἰσι λαμπροὶ ἀςέρες, οἵτινες ἀποτελȣ̃σι τὸν Στέφανον.

73. τὸ *ςρέφεται* ἤγȣν συγκινεῖται τῷ ȣ̓ρανῷ, ἢ ἐπιςρέφεται τῷ νώτῳ. δοκεῖ δὲ ὥσπερ ἐπικυλίεσθαι τῷ νώτῳ τȣ̃ Ἐνγόνασιν.

ἀπὸ τȣ̃ ἐγνωσμένȣ τὸ ἄγνωςον ἔδειξεν, ἀπὸ τȣ̃ εἰδώλȣ τὸν Στέφανον. τῷ δὲ *κεκμηκότος* διδασκαλικῶς κέχρηται πάλιν ὡς πρὸς τὰ εἰρημένα· δοκεῖ γὰρ κάμνειν διὰ τὸ ὀκλάζειν καὶ τὰς χεῖρας τείνειν.

74. συνήθως πάλιν ἐκ τȣ̃ ἐγνωσμένου τὸ μήπω ἡμῖν γνωστὸν εἰς γνῶσιν ἄγει. ὁ δὲ νȣ̃ς, παρὰ δὲ τῇ ἄκρῃ κεφαλῇ τȣ̃ Ἐνγόνασι τὴν κεφαλὴν βλέπε τȣ̃ Ὀφιȣ́χȣ· ἐπιψαύει γὰρ ἡ κεφαλὴ τȣ̃ Ὀφιȣ́χȣ τȣ̃ Ἐνγόνασιν. εἴρηται δὲ Ὀφιȣ̃χος, ὅτι ὄφιν ἔχει καὶ φέρει. ȣ̃τος δέ ἐςι κατά τινας Ἡρακλῆς ἐπὶ ὄφεως βεβηκώς· οἱ δὲ Προμηθέα λέγȣσιν, οἱ δὲ Τάνταλον, ἄλλοι Θύβριν, οἱ δὲ Θησέα. ἄλλοι δέ φασιν αὐτὸν εἶναι τὸν Ἡρακλέα· τȣ̃τον γὰρ Λίβυσι πολεμȣ̃ντα ἐπιλιπόντων αὐτῷ τῶν τοξευμάτων ἐπὶ γόνυ πεσόντα λίθοις βάλλειν, ȣ̃ς αὐτῷ Ζεὺς ὗσεν εὐξαμένῳ. ἄλλοι δὲ καὶ Ἰξίονα φασί.

77. θαυμαςικῶς φησὶ τοιȣ̃τοι γὰρ οἱ ὦμοι ὑπὸ τὴν κεφαλὴν αὐτȣ̃ ὄντες λάμπȣσιν. οἱ γὰρ τȣ̀ς ὤμȣς αὐτȣ̃ ἀποτελȣ̃ντες ἀςέρες καθ' ὑπερβολήν εἰσι λαμπροί.

78. *διχόμηνι* ἀντὶ τȣ̃ διχομήνῳ· ȣ̓ δεῖ δὲ τῶν μεταπλασμῶν τὰς εὐθείας ἐπιζητεῖν, ὥσπερ καὶ τὸ ἐρυσάρματες. τὸ δὲ *ἰσωποί* (79) ἴσοι κατὰ τὴν λαμπρότητα, ȣ̓ μὴν δὲ αἱ χεῖρες ἴσαι.

80. *τῇ καὶ τῇ*: καὶ τῇ ἀριςερᾷ, φησί, καὶ τῇ ἄλλῃ ἤγȣν τῇ δεξιᾷ λεπτοτέρα τε καὶ ἀμυδροτέρα ὡς πρὸς σύγκρισιν τῶν ὤμων ἐπίκειται λαμπηδών.

82. ἀμφότεραι, φησίν, αἱ χεῖρες τȣ̃ Ὀφιȣ́χȣ περὶ τὸν ὄφιν πονȣ̃σι καὶ ἐνεργȣ̃σιν.

83. ὁ δὲ Ὀφιȣ̃χος ἀσφαλῶς διόλȣ βαίνων ἀμφοτέροις τοῖς ἑαυτȣ̃ ποσὶ τὸ μέγα θηρίον (τὸν Σκορπίον) ἐκθλίβει καὶ πατεῖ, τῷ μὲν ἀριςερῷ ποδὶ ἐπὶ τȣ̃ ὀφθαλμȣ̃ βαίνων, τῷ δὲ δεξιῷ ἐπὶ τȣ̃ θώρακος. Εὐδόξῳ δὲ καὶ Ἱππάρχῳ, ἀρχαιοτέροις ȣ̓̃σιν Ἀράτου, οὐ δοκεῖ ἀμφοτέρους τȣ̀ς πόδας βεβηκέναι τȣ̃ Ὀφιȣ́χȣ ἐπὶ τȣ̃ Σκορπίȣ, ἀλλὰ μόνον τὸν ἕτερον· τὸν δὲ ἕτερον ὑπὸ τὸν Σκορπίον δοκεῖ εἶναι, καὶ μὴ φαίνεσθαι ὅλως τὸν ταρσόν. ἵνα ȣ̃ν μὴ δῶμεν αὐτὸν Εὐδόξῳ καὶ Ἱππάρχῳ δοκίμοις οὖσιν ἐναντιοῦσθαι, ἁρμόσωμεν αὐτȣ̃ τὸ ῥητὸν πρὸς τὴν ἔκδοσιν ȣ̃τως· ὁ δ' ἐμμενὲς εὖ ἐπαρηρὼς ποσίν· εἶτα εἰς μέσον ἐπιθλίβει θηρίον τῷ ἑνὶ ποδὶ κατ' ἀμφότερα· ὁ γὰρ εἷς πȣ̃ς κεῖται μεταξὺ τȣ̃ ὀφθαλμοῦ καὶ τοῦ θώρακος. *μέγα δὲ θηρίον* (84) ὅτι τὸν Ὠρίωνα ἀνεῖλεν, ἢ διὰ τὸ μέγεθος τȣ̃ Σκορπίȣ.

Digitized by Google

86. ἔτι ἐπεργάζεται καὶ φησὶν, ὁ δὲ ὄφις ἀμφοτέραις ταῖς χερσὶ τȣ̃ Ὀφιȣ́χȣ ἑλίσσεται, καὶ ἐν τῇ δεξιᾷ ὀλίγος ἐςὶν ὁ Δράκων (βραχὺ γάρ ἐςιν ἐν τῇ δεξιᾷ τὸ περὶ τὴν ȣ̓ράν), ἐν δὲ τῇ ἀριςερᾷ τὸ λοιπὸν σῶμά ἐςι.

88. καὶ δή οἱ Στεφάνῳ: ἔχει ὁ ὄφις τὴν κεφαλὴν συνάπτȣσαν τῷ Στεφάνῳ, τὴν δὲ τȣ̃ σώματος καμπὴν κατ' εὐθεῖαν τῶν Χηλῶν.

89. κατωτάτω δὲ τῆς τȣ̃ Ὀφιȣ́χȣ ἀριςερᾶς καὶ τῆς τȣ̃ Δράκοντος σπειρώσεως καὶ τὰς τȣ̃ Σκορπίȣ μεγάλας χηλὰς ἐπιζήτει. καλῶς δ' εἶπεν ἐπιμαίεο· ἐπειδὴ γὰρ ἐφεξῆς ἀμυδρὰς αὐτὰς ἐρεῖ, διὰ τȣ̃το λέγει σκέπτȣ· ȣ̓ γάρ εἰσιν ἔκλαμπροι. μεγάλας δὲ εἶπε τὰς Χηλὰς ἢ ὅτι ζῳδίȣ μέγεθος ἔχȣσιν, ἢ πρὸς σύγκρισιν τῶν τȣ̃ Καρκίνȣ χηλῶν, ἢ ὅτι δωδέκατον μόριον ἐπέχȣσι τȣ̃ ζῳδιακȣ̃ αἱ χηλαὶ τȣ̃ Σκορπίȣ. ταύτας γὰρ οἱ ἀςρολόγοι τὸν ζυγὸν εἶναί φασιν, ἢ ὅτι ἐμφερεῖς εἰσὶ πλάςιγγι, ἢ ὅτι παρὰ τοῖς ποσὶν εἰσὶ τῆς Παρθένου· ἡ αὐτὴ δέ ἐςι καὶ Δίκη, ἥτις καὶ ζυγὰ ταλαντεύει.

91. σφόδρα καλῶς καὶ πρεπόντως τῇ ἀκολȣθίᾳ χρῆται· διὸ καὶ ἀπὸ τȣ̃ βορείȣ κατελθὼν ἐπὶ τὸν κύκλον πάλιν ἀνατρέχει ἐπὶ τὰ λειπόμενα. ὁ δὲ νȣ̃ς ȣ̔́τως· ὄπισθεν δὲ τῆς Ἑλίκης τῆς Ἄρκτου φέρεταί τις ἐλαύνοντι ὅμοιος, ὁ καλȣ́μενος Ἀρκτοφύλαξ. τὸ δὲ ἐλάοντι ἐοικὼς διὰ τὸ τῇ δεξιᾷ καλαύροπα φέρειν καὶ τῇ ἀριςερᾷ ὥσπερ ἐφάπτεσθαι τῆς ἁμάξης, τῆς Ἄρκτȣ δηλονότι· δοκεῖ γὰρ αὐτὴν φυλάττειν. βοώτης δὲ τῆς λεγομένης Ἄρκτȣ, ἤγουν τῆς ἁμάξης, ὥσπερ τὰς ἐν αὐτῇ βοῦς ἐλαύνων, καλαύροπα φέρων, ὅ ἐςι ῥόπαλον. οὗτος δὲ ὁ Ἀρκτοφύλαξ Ἀρκάς ἐςι, Διὸς καὶ Καλλιςȣ̃ς παῖς, ὃς ᾤκει τὸ Λύκαιον παρ' αἰπόλῳ τινὶ τραφείς· ὃν λέγεται κινδυνεύοντα σὺν μητρὶ ἀναιρεθῆναι κατὰ τὸν ἐν Λυκαίῳ νόμον, ὁ Ζεὺς ἐλεήσας αὐτὸν κατηςέρισε. τȣ̃τον δὲ λέγεται εἶναι Ἀρκτοφύλακα καὶ Βοώτην καὶ Ὠρίωνα· φησὶ γὰρ καὶ ὁ ποιητὴς "καὶ ὀψὲ δύοντα Βοώτην." λέγεται καὶ Τρυγητής.

94. ὁ νȣ̃ς, σφόδρα γὰρ ἔχει τȣ̀ς πάντας λαμπροτάτȣς, ἕνα δὲ ἔχει ἐν μέσῃ ζώνῃ, ὅςις διὰ τὴν ὑπερβολὴν τῆς λαμπρότητος ἰδίως καὶ αὐτὸς λέγεται Ἀρκτȣ̃ρος ὁμοίως τῷ παντὶ Ἀρκτȣ́ρῳ· λαμπηδόνα γὰρ ἔχει οὐ τὴν τυχοῦσαν.

96. ὑπὸ δὲ τοῖς ἀμφοτέροις ποσὶ τȣ̃ Βοώτȣ ἐςὶν ἡ Παρθένος· ςάχυς δέ ἐςιν ἐπὶ τῆς ἀριςερᾶς χειρὸς αὐτῆς εὐμεγέθης, ὅθεν καὶ αἰγλήεις αὐτῷ κέκληται. ςάχυν δὲ ἡ Παρθένος φέρει, ἐπειδὴ εὐσεβέςατον ἡ γεωργία. πάντες δὲ ὅσοι περὶ τῆς Παρθένȣ κατέλεξαν ληρȣ̃σι· πεποίηται γὰρ τὸ πᾶν ποιητικῇ καὶ αἰνιγματώδει ἐξȣσίᾳ. ὁ μέντοι ποιητὴς τὴν Δίκην ὡς ἀδιάφθαρτον κόρην ὑποτίθεται καταλιποῦσαν μὲν τὸν περίγειον κόσμον διὰ τὴν τῆς πονηρίας αὔξησιν, καταλαβȣ̃σαν δὲ τὸν ȣ̓ρανόν· ὅπερ καὶ Ἡσίοδος ἐπὶ τῆς Αἰδȣ̃ς καὶ Νεμέσεως εἶπε· "καὶ τότε δὴ πρὸς Ὄλυμπον ἀπὸ χθονὸς εὐρυοδείης" καὶ τὰ ἑξῆς, οἱονεὶ διὰ τȣ̃ ὀνείδȣς πειρώμενος πρὸς τὴν δικαιοσύνην ἐπιςρέφειν.

Digitized by Google

97. *ἐν χειρὶ φέρει:* οὐ διεσάφησε ποίᾳ χειρί, ἴσως διὰ τὸ μέτρον ἐμποδιζόμενος· θεωρεῖται δὲ ἐν τῇ ἀριστερᾷ.

98. τινὲς δέ φασιν Ἀστραῖον ἀρχαῖον γεγονέναι μαθηματικὸν τὸν πρῶτον εὑρόντα τὴν τῶν ἄστρων ὀνομασίαν, ὅθεν καὶ πατέρα ἄστρων ἐπικαλεῖσθαι. πολὺς δὲ καὶ διάφορος λόγος τοῖς παλαιοτέροις περὶ ταύτης τῆς Παρθένου ἐκινήθη, καὶ οἱ μὲν αὐτὴν ἔφασαν εἶναι θυγατέρα Διός, καθὰ καὶ Ἡσίοδος "Δίκη Διὸς ἐκγεγαυῖα," ἄλλοι δ' αὐτήν φασιν Ἀστραίου καὶ Ἡμέρας. ἐπειδὴ οὖν πολὺς καὶ διάφορος ὁ περὶ αὐτὴν λόγος, φησὶν Ἄρατος εἴτ' οὖν Ἀστραίου εἴτε του ἄλλου, ἁπλῶς μὲν ἐπισημαινόμενος εἶναι αὐτὴν Ἀστραίου, οὐχὶ δὲ καὶ τοῖς ἄλλοις ἐναντιούμενος.

100. *εὔκηλος:* ἥσυχος, εὐμενὴς φέροιτο ἐν οὐρανῷ. τῶν μὲν οὖν ἄλλων μύθων ἐπιψαύει μὲν ἐνδεικνύμενος τὸ μὴ ἀγνοεῖν, τὸν δὲ ἐπὶ τῆς Δίκης μόνον σχεδὸν ἐξειργάσαι, εἰκότως. ἐκπομπεύει γὰρ τὸ κατὰ τὴν Δίκην χρήσιμον καὶ βιωφελὲς ἐκ τοῦ μύθου τοῖς ἀνθρώποις ἐνδεικνύμενος λαμπρῶς καὶ μεγαλοφώνως, καὶ ὡς ἂν ἄλλος τις εἶπεν, Ὁμηρικῷ πλάσματι χρησάμενος.

102. εἰς συνάντησιν τῶν ἀνθρώπων ἤρχετο, τουτέστι φανερῶς ἑωρᾶτο. ἢ τὸ δίκαιον τῶν προτέρων ἀνθρώπων θέλων δεῖξαι ὁ Ἄρατος, φησὶν ὅτι καὶ θεὸς οὖσα εἰς τὸ φανερὸν ἐφοίτα τοῖς ἀνθρώποις διὰ τὸ εἶναι αὐτοὺς δικαίους. τὸ δὲ ἀρχαῖον τὸ χρυσοῦν γένος, παρὰ τὸ Ἡσιόδειον "ξυναὶ γὰρ τότε δαῖτες ἔσαν, ξυνοὶ δ' αὖ θῶκοι."

105. *ἀγειρομένη* δὲ ἀντὶ τοῦ ἀγείρουσα, ὅ ἐστι συναθροίζουσα τοὺς παλαιοτέρους ἀνθρώπους. συναγείρουσα, ἤτοι ἔν τινι ἐκκλησίᾳ ἢ ἐκ τοῦ παρατυχόντος ἐν ὁδῷ, τὰς δημωφελεῖς θέμιστας ἐξηγεῖτο. τὸ δὲ *ἐπισπέρχουσα* (107) ἐπισπουδάζουσα, διδάσκουσα, σπεύδουσα, ὑποδεικνῦσα. *δημοτέρας* δὲ πραείας καὶ οὐ τυραννικάς. ἢ δημοτικάς, τὴν δικαιοσύνην δηλαδὴ καὶ τὰς ἄλλας ἀρετάς. ὅλην δὲ τὴν ἱστορίαν παρ' Ἡσιόδου εἴληφεν. οὐδέπω δέ, φησί (108), τότε οἱ ἄνθρωποι περὶ κακῆς στάσεως ἔννοιαν εἶχον, οὐδὲ τὸ δίκαιον ἀνετρέπετο, ἀλλ' ἀπὸ γεωργίας ἔζων, καθ' οὓς χρόνους ἦν τὸ χρυσοῦν γένος. μεταστάντων δὲ ἐκείνων οὐκέτι ὁμοίως συνῆν αὐτοῖς, ἀλλὰ εἰς τὰ ὄρη ἀνεχώρει διὰ τὰς ἐπιγενομένας ἀδικίας τὸ ἀνθρώπινον γένος μισήσασα, καὶ λοιπὸν τοῖς ἄστροις συνηριθμήθη.

108. ἑλληνισμὸς πάλιν τὸ τοιοῦτο, *οὔπω ἠπίσταντο νείκεος* ἀντὶ τοῦ οὔπω ᾔδεσαν τὰς ἀδίκους στάσεις ταύτας καὶ φιλονεικίας. τὸ δὲ *διακρίσιος πολυμεμφέος* (109) τῆς ἀδίκου χωρίσεως, τῆς ἐχούσης μέμψεις καὶ ψόγους καὶ ἀμφισβητήσεις.

110. *αὔτως:* ἁπλῶς, ἀκάκως, χωρὶς ἀδικίας καὶ τῶν ἄλλων κακῶν. τὸ δὲ *χαλεπὴ δ' ἀπέκειτο θάλασσα* ἀντὶ τοῦ οὐδὲ παρεκινδύνευον οἱ ἄνθρωποι ἐν θαλάσσῃ διὰ τὸν βίον· ἱκανὴ γὰρ ἦν ἡ γεωργία, καὶ ἑκάστῳ τὰ ἐπιχώρια ἤρκει τε καὶ ἤρεσκε. καὶ Πίνδαρος (Ol. 2, 70) "οὐδὲ πόντιον ὕδωρ κενεὸν περὶ δίαιταν," περὶ τῶν μακάρων λέγων.

Digitized by Google

114—5. τηνικαῦτα ἐπὶ τῆς γῆς καὶ ἐν ταῖς πόλεσιν ἦν, ἕως περιῆν τὸ χρυσοῦν γένος ἐπὶ τῆς γῆς. τῷ δὲ ἀργυρῷ σπανιάκις καὶ ὀλιγάκις διέτριβεν.

117. ἀλλ' ὅμως, φησίν, εἰ καὶ τοὺς παλαιοὺς ἐπόθει, ἀλλὰ καὶ κατ' ἐκεῖνο ἦν τοῖς ἀνθρώποις, ἤγουν κατὰ τὸ ἀργυροῦν γένος.

118. παρεγένετο δ' ἐν ταῖς πόλεσιν ἐπὶ εἰρήνῃ ἐκ τῶν ὀρῶν· ἐν γὰρ τοῖς ὄρεσι διέτριβε, μηκέτι ταῖς ἀστικαῖς διατριβαῖς ἀρεσκομένη. ἑσπέρας δὲ ἤρχετο ἐν ταῖς πόλεσιν, ὅτε αὐτὴν οὐδεὶς ἑώρα· φησὶ γὰρ ὅτι οὐδενὶ ἤθελεν ἀναμίγνυσθαι. τὸ δὲ μουνάξ (119) σὺν ἑνὶ μόνῳ ἀνδρί, κἀκείνῳ δὲ συνετύγχανεν ὡς ἔοικε τῷ τὴν κακίαν τοῦ γένους ἀλλάξαντι.

120. ἀλλ' ὁπηνίκα ποιουμένη ἐν τοῖς ὄρεσι τὰς διατριβάς (οὐκέτι γὰρ ἐν ταῖς πόλεσιν) ἀνδρῶν ἐπλήρου τὰς κολώνας, ἐκεῖ αὐτοὺς μεταπεμπομένη, ἠπείλει τοῖς λοιποῖς καὶ διήλεγχε τὴν αὐτῶν κακίαν· ἐποιεῖτο γὰρ τὴν ἐκκλησίαν οὐκέτι συμβουλεύουσα ἀλλὰ τὰ παρόντα διελέγχουσα. αἰνίττεται οὖν διὰ τοῦ εἰπεῖν "ἐπλήρου τὰς κολώνας" ὅτι τὰ μεσόγαια δικαίοις ζῶσι καμάτοις, γεωργίᾳ προσέχοντες καὶ οὐκ ἐμπορίαις καὶ ἀδικίαις.

123. οἳ ἦν χρύσειοι: ἐκ προσώπου τῆς Δίκης θαυμαζούσης ὅπως οἱ χρύσειοι πατέρες χείρω γενεὰν ἐλίποντο, καὶ ὡς οὗτοι οἱ ἀργυροῖ τέξονται τοὺς χαλκοῦς πολὺ χείρους, οἷς ἐπικείσεται ἄλγος καὶ διὰ τοὺς πολέμους καὶ διὰ τὰ φαῦλα.

127. ταῦτα εἰποῦσα ἐπὶ τὰ ὑψηλὰ τῶν ὀρῶν ἔβαινεν ἀπὸ τῶν κολωνῶν, ἀεὶ τῆς ὀρείου φροντίζουσα διαίτης. ὅμως μέντοι ἐπὶ γῆς οὖσα καὶ ἐν ὄρεσι τοὺς ὄχλους εἰς αὐτὴν ἀφορῶντας κατελίμπανεν.

132. καὶ εἰς τοῦτο ἱκανῶς μέμφεται αὐτοῖς ἀρξαμένοις ἐσθίειν ἀροτῆρας βοῦς, τῆς προτέρας γενεᾶς μήπω τοῦτο ἐργασαμένης. οἱ γὰρ ἀρχαῖοι ἐφύλαττον τοὺς ἐργάτας βοῦς καθιερεύειν. διὸ καὶ Ὅμηρός φησι "βοῦν ἀδμήτην, ἣν οὔπω ὑπὸ ζυγὸν ἤγαγεν ἀνήρ·" ἀσεβὲς γὰρ ἐδόκει τὸν ἀρότην σφάξαι. πρῶτοι δὲ Ἀθηναῖοι ἐγεύσαντο τῶν τοιούτων βοῶν. φασὶ δὲ καὶ τοὺς Ὀδυσσέως ἑταίρους τοιούτους βοῦς κατεδηδοκέναι. ὠργίσθη δὲ ὁ ἥλιος, ἐπεὶ οἱ ἀροτῆρες βόες τοῦ ὁρᾶν ἡμᾶς τὸν ἥλιον αἴτιοί εἰσι, τροφῆς ποριστικοὶ ὄντες καὶ τὴν ζωτικὴν δύναμιν διὰ ταύτης τοῖς πᾶσιν ἔμμονον ἀπεργαζόμενοι.

134. ἔπταθ': οἶδε γὰρ ὁ Ἄρατος τὴν Παρθένον δύο πτέρυγας ἔχουσαν, καθάπερ καὶ ἄλλοι μαρτυροῦσι τὸ πτέρυγας αὐτὴν ἔχειν ἐν τοῖς καταστερισμοῖς.

135. ὥσπερ ποιητικευόμενός φησιν ὅτι πρότερον ἐπὶ γῆς συνοῦσα τοῖς ἀνθρώποις, διὰ τὰς ἐπιγενομένας ἀδικίας μόγις νῦν ἐν οὐρανῷ οὖσα τοῖς ἐν τῇ γῇ ἐν νυκτὶ φαίνεται. τὸ δὲ ἐγγὺς οὖσα (136) καὶ τοῦτο ποιητικῶς, ὅτι ἐπειδὴ τῶν τοιούτων ἦν φίλη, τοῦ γεωργεῖν καὶ τοῦ ἀπράγμονα βίον μετιέναι τοὺς ἀνθρώπους, διὰ τοῦτο καὶ ἐγγὺς τοῦ Βοώτου κατηστέρισαι.

Digitized by Google

136. *πολυσκέπτοιο:* τῦ λίαν λαμπρῦ. τινὲς δὲ τοῦ Ἀράτου ὡς παρατείνοντος τὴν μυθολογίαν κατεμέμψαντο, καὶ ταῦτα ἐν τῷ προτέρῳ μύθῳ ὺχ ὕτω πεποιηκότος. καί φαμεν ὅτι ἐπειδὴ ἐκεῖνος καὶ βλασφημίαν τινὰ εἶχεν, ὁ περὶ τῶν Ἄρκτων καὶ τῦ Διὸς τῦ Κρονίωνος, ὗτος δὲ βιωφελής ἐςι, διὰ τῦτο καὶ παρεξέτεινεν.

137. ἐπειδὴ πολὺς ἐνέμεινε τῷ μυθικῷ καὶ δοκεῖ παρεκτετράφθαι, διὰ τῦτο λοιπὸν ἐπαναλαμβάνει καὶ ἐπὶ τὴν τῶν θεωρυμένων ἀκρίβειαν ἔρχεται, καὶ ἐπὶ τῦ ἀςέρος τῦ ἐπικειμένυ τῷ δεξιῷ ὤμῳ τῆς Παρθένυ, ὅςις σφόδρα ἐςὶ λαμπρὸς καὶ καλεῖται Προτρυγητήρ· πρὸ γὰρ τῆς τῦ τρυγητοῦ ὥρας ὀλίγον προανατέλλει. ἐπιτέλλει γὰρ ἡ κεφαλὴ καὶ οἱ ὦμοι τῆς Παρθένυ τῷ Λέοντι. ἄλλο μὲν ὖν ἀνατολὴ καὶ ἄλλο ἐπιτολή· ἀνατολὴ μὲν γάρ ἐςιν ἡ τῦ ζωδίυ παντός, καθ' ὅ ἐςιν ἡ τῦ ἡλίυ ἐπιφάνεια, ἐπιτολὴ δὲ τὸ ὑπὲρ τὸ ζῴδιον· ὅταν γὰρ συνανατέλλῃ ἐπί τινι, ἐπιτέλλειν λέγεται, ὡς τὸ "Πληϊάδων Ἀτλαγενέων ἐπιτελλομενάων·" αἱ γὰρ Πλειάδες ἐπὶ τὴν τοῦ Ταύρου εἰσὶ τομήν, αἵτινες τῷ Κριῷ ἐπιτέλλονται, ὅτε ὁ ἥλιος ἐν τῷ Κριῷ ἐςί, κατὰ τὴν τῦ θέρους ἀρχήν, ὅτε πρῶτον τὰς κριθὰς θερίζυσι. τὸ δὲ *ὑπὲρ ἀμφοτέρων ὤμων*, ὅτι ὁ ἀςὴρ καὶ τοῦ δεξιοῦ ἐπιψαύει.

139. *τόσσος μὲν μεγέθει:* ὀλίγος μὲν ὗτος τῷ μεγέθει καὶ τῇ λαμπηδόνι ἐγκείμενος, ὁποῖος καὶ τῆς μεγάλης Ἄρκτυ τῆς Ἑλίκης φαίνεται ἀπὸ τῆς ὐρᾶς. διδασκαλικῶς δὲ τῦτο· ἅμα γὰρ τό τε παραβάλλειν ἐδίδαξε, καὶ τεχνικὴν πάνυ δέδωκεν ἀφορμὴν αὐτῷ ὥςε ἀνελθεῖν ἐπὶ τὰ βόρεια κἀκεῖθεν πάλιν ἄρξασθαι ἄλλων. τινὲς δὲ τῆς μεγάλης ὐρᾶς τῆς Κυνοσύρας ἤκυσαν. μεγάλη ὖν αὕτη ἡ ὐρὰ ὡς πρὸς τὴν τῆς Ἑλίκης· οἱ γὰρ ἀςέρες ἐκεῖνοι ἀμυδροί εἰσι. καὶ εἰ ὕτω, τὸ μεγάλην Ἄρκτου οὐράν εἴη ἂν ὑπερβατόν.

141. λαμπρὰ κἀκείνη ἡ Ἄρκτος ἐςί. καὶ Ὅμηρος "δεινὴ δὲ περὶ κροτάφοισι φαείνει πήληξ." ὐ μόνον δὲ αὐτή, ἀλλὰ καὶ οἱ *ἐγγύθεν* ἤγουν πλησίον αὐτῆς περικείμενοι ἀςέρες, ἀνονόμαςοι ὄντες, λαμπροί εἰσι. λέγει δὲ τὺς τὴν ὐρὰν τῆς Ἄρκτυ ἤγυν τὸν ῥυμὸν ἀναπληρῦντας. *δεινὴ* δὲ καταπληκτικὴ ἢ ἀγρία, διὰ τὴν λαμπρότητα τῶν ἀςέρων· λαμπρὰ γὰρ ἅπασα.

142. ὐκ ἄν, φησί, τύτυς τὺς τῆς Ἄρκτυ θεασάμενος ἀςέρας ἔτι κατασκοπήσειας πρὸς τὸ γνωρίσαι αὐτήν· ἰδὼν γὰρ ἐκείνυς εὐθὺς ἐγνώρισας. τοῦτο γάρ ἐστι τὸ *ἐπιτεκμήραιο*, ἤγουν ἐπὶ ταύτοις τοῖς ὀφθεῖσι λαμπροῖς ἀστράσιν οὐ δεηθήσῃ πρὸς τὴν τῆς Ἄρκτου κατάληψιν σχολῆς.

143. τὸ *οἷος* ὐκ εἰκασμῦ ἀλλὰ θαύματος. ἢ τοιῦτος οἷος ὁ τῶν ἐμπροσθίων.

144. περὶ τῶν τῆς Παρθένυ ἀςέρων διαλέγεται, ὅτι πλησίον τῦ Προτρυγητῆρός εἰσιν ἀςέρες δ', εἷς μὲν πρὸ τῶν ποδῶν αὐτῆς, εἷς δὲ

Digitized by Google

ὑπὲρ τοὺς ὤμους, εἷς δὲ ἀπὸ τῆς ὀσφύος, εἷς δὲ μεταξὺ τῆς οὐρᾶς καὶ τῶν ὀπισθίων γονάτων τῆς μεγάλης Ἄρκτου.

146. *ἁπλόοι:* τουτέστιν ἀκατονόμαστοί εἰσι, καὶ οὐ συμπληροῦνται εἰς τύπον ἐξ αὐτῶν. οἱ δὲ ἠλακάτην αὐτὴν λέγουσι. Κόνων δὲ ὁ μαθηματικὸς Πτολεμαίῳ χαριζόμενος Βερενίκης πλόκαμον ἐξ αὐτοῦ κατηστέρισε. τοῦτο καὶ Καλλίμαχός που φησίν, "ἠδὲ Κόνων ἔβλεψεν ἐν ἠέρι τὸν Βερενίκης βόστρυχον, ὅντ' ἄρα κείνη πᾶσιν ἔθηκε θεοῖσιν." ἀπλόοι, οὓς οὐδεὶς πλέει διὰ τὸ ἀνώνυμον.

147. εἰς τρία διαιρεῖ τὴν Ἄρκτον, καί φησιν ὅτι τῆς μὲν κεφαλῆς αὐτῆς ἡ διάμετρος ἄνω τῶν Διδύμων, τὸ δὲ μέσον τοῦ Καρκίνου, οἱ δὲ ὄπισθεν πόδες ἄνω τοῦ Λέοντος. καὶ ἐπειδὴ οὐδὲν ἦν αὐτῆς τὸ μεταξὺ καὶ τοῦ ζῳδιακοῦ, ἀπ' αὐτῆς καὶ τὸν ζῳδιακὸν διηγεῖται· ἔστι γὰρ ταῦτα τὰ ζῴδια σφόδρα βόρεια. τινὲς κατεμέμψαντο τοῦ Ἀράτου, λέγοντες ὅτι τριάκοντα μοιρῶν οὖσα μόλις ἡ Ἄρκτος πῶς ἐπέχει ἐνενήκοντα μοιρῶν τὴν ἔκτασιν, ὡς πρὸς τὰ τρία ζῴδια; καί φαμεν ὅτι ἂν ὁμοχρόνως καὶ ἰσοπαλῶς αἱ σφαιροειδεῖς θέσεις τὰς κινήσεις ἔχωσι· μία γὰρ ἡ περικειμένη ἐπιφάνεια καὶ πᾶσιν ἴση· καὶ ὅτι τοῦτό ἐστιν, ὁ μέγιστος τῶν κύκλων ὁ ἰσημερινὸς τῷ βορείῳ κύκλῳ καταπολεύοντι βραδυτέρῳ· ὅμως κατὰ τὴν σφαιροθεσίαν ὁμοχρόνως κινοῦσιν. ὅταν οὖν ἡ Ἄρκτος ἡ μείζων ἐν τῇ στροφῇ γένηται περὶ τὸν ἰσημερινὸν κύκλον, τότε ἄρχεται ὁ Ταῦρος ἀνατέλλειν, καὶ πάλιν ἐν πάσῃ τῇ περιφερείᾳ ὁμοίως· πρὸ τοῦ γενέσθαι δὲ κατὰ τὸν μεσημβρινὸν κύκλον οὐκ ἀνατέλλει ὁ Ταῦρος. οὕτως ἡ σφαιροειδὴς κίνησις ἡ αὐτὴ δι' ὅλου.

147. *Καρκίνος:* οὗτος δοκεῖ ἐν τοῖς ἄστροις τεθῆναι διὰ τὴν Ἥραν· τῷ γὰρ Ἡρακλεῖ τῶν ἄλλων συμμαχούντων, ὁπότε τὴν ὕδραν ἀνῄρει, μόνος ἐκ τῆς λίμνης οὗτος πηδήσας ἔδακεν αὐτόν. καλοῦνται δὲ αὐτῶν τινὲς ἀστέρες ὄνοι, οὓς Διόνυσος ἀνήγαγεν ἐπὶ τὰ ἄστρα.

148. ὁ Λέων ἔχει ἐπὶ τῆς καρδίας ἀστέρα Βασιλίσκον λεγόμενον, ὃν οἱ Χαλδαῖοι νομίζουσιν ἄρχειν τῶν οὐρανίων. ὄντος δὲ ἡλίου ἐν Λέοντι ὁ Νεῖλος ἀναβαίνει.

149. ἐζήτηται διὰ ποίαν αἰτίαν ὁ Ἄρατος ἐδήλωσε τὰς θερμοτάτας ἡμέρας ἐν τῷ Λέοντι γίνεσθαι καὶ οὐκ ἐν τῷ Καρκίνῳ. ῥητέον οὖν ὅτι ἴσως μὲν καὶ φυσικῷ τινὶ λόγῳ καύματα γίνεσθαι ἐν τῷ Λέοντι διὰ τὸ ἐν ἐκείνῳ τῷ καιρῷ ἀνατέλλειν τὸν Κύνα· τὸν δὲ Ἄρατον μὴ καθ' ἑνὸς ζῳδίου ἀποδεδωκέναι, ἀλλ' ἐπὶ τῶν τριῶν· προτάξας γὰρ τοὺς Διδύμους καὶ Καρκίνον καὶ Λέοντα, ἐν οἷς συμβαίνει τὰς θερμοτάτας ἡμέρας γίνεσθαι, ἐπήνεγκεν *ἔνθα μὲν ἠελίοιο θερείταταί εἰσι κέλευθοι*, τουτέστιν ἐν τοῖς τρισὶ ζῳδίοις. εἰ δέ τις ἐρεῖ "καὶ πῶς αὐτὸ ἐξαίρετον τοῦ ἡλίου συμβαῖνον τῇ ἐν τῷ Λέοντι πορείᾳ ἀπέδωκεν, ἀλλ' οὐ καὶ τοῖς ἄλλοις; καίτοι ἔδει μᾶλλον τῷ Καρκίνῳ;" ῥητέον ὅτι τὰ δύο θερινὰ ζῴδια προθερμαινόμενα καὶ ἐκπυρούμενα ὑπὸ τοῦ ἡλίου τὸν Λέοντα

Digitized by Google

θερμὸν ποιεῖ γίνεσθαι· καὶ ἅμα ἤδη ὑπὸ τοῦ θέρους κεκμηκότες οἱ ἄνθρωποι πλέον ἀντιλαμβάνονται τῆς θερμότητος, ὅταν ὁ ἥλιος ἐν Λέοντι ᾖ· ἐν γὰρ ἡμέρᾳ θερινῇ οὐχ οὕτω κατὰ ἕκτην ὥραν μεσοῦντος τοῦ ἡλίου ἀντιλαμβανόμεθα τοῦ καύματος ὡς κατὰ τὴν ἑβδόμην. οὕτως οὖν ῥητέον καὶ ἐπὶ τοῦ Λέοντος. τὸν δὲ Λέοντα οἱ μέν φασιν ὅτι ὑπὸ τοῦ Διὸς ἐτιμήθη, διότι τῶν τετραπόδων ἡγεῖται, οἱ δὲ ὅτι πρῶτος ἆθλος Ἡρακλέους ἐστίν. ἔστι δὲ οὗτος τῶν ἐπιφανῶν ἄστρων.

150. κενεαὶ φαίνονται: κεκενωμέναι γάρ εἰσι καρπῶν· αἱ γὰρ προτρυγήσεις διὰ τοῦ ἡλίου τὸ κατ' ἀρχὰς συνερχομένου τῷ Λέοντι. τινὲς δὲ τολμῶσι γράφειν ἠελίῳ τὰ πρῶτα συνερχομένοιο Λέοντος, ἀπαιδεύτως· οὐ γὰρ τὰ ζῴδια συνέρχονται, ἀλλ' ὁ ἥλιος ἕκαστον ἐπιπορεύεται. ἅπτεται δὲ καὶ θεολογίας ἐνταῦθα ὁ Ἄρατος, τὴν τῆς Κόρης ἁρπαγὴν δηλῶν καὶ τὸν ἐν ᾅδου γάμον ἐν τῷ λέγειν κενεαὶ ἄρουραι· αὐτὴν γὰρ εἶναι τοὺς καρποὺς καὶ μητέρα τὴν γῆν. καὶ γὰρ παρ' Αἰγυπτίοις κατὰ τὸν Ἐπιφὶ μῆνα, ὅτε ἐν Λέοντι γίνεται ὁ ἥλιος, ἡ τῆς Κόρης ἁρπαγὴ τελειοῦται.

152. τότε, φησί, καὶ κελάδοντες ἄνεμοι ἐμπίπτουσιν ἐν τῷ πόντῳ, ὅτε ὁ ἥλιός ἐστιν ἐν τῷ Λέοντι. καὶ παρ' Αἰγυπτίοις αἱ κλεῖδες τῶν ἱερῶν λεόντων φέρουσι πρόσωπα, καὶ τοῦ σχήματος ἁλύσεις ἀπῃώρηνται καρδίαν ἐξηρτημένην ἔχουσαι. ὅλον δὲ τὸ ἄστρον ἀφιερώκασιν ἡλίῳ· τότε γὰρ ἐμβαίνει καὶ ὁ Νεῖλος, καὶ ἡ τοῦ Κυνὸς ἐπιτολὴ κατὰ ἑνδεκάτην ὥραν φαίνεται, καὶ ταύτην ἀρχὴν ἔτους τίθενται, καὶ τῆς Ἴσιδος ἱερὸν εἶναι τὸν Κύνα λέγουσι καὶ τὴν ἐπιτολὴν αὐτοῦ, ἐφ' ἣν καὶ τὸν ὄρτυγα θύουσι, τῷ πταρμῷ τούτου τοῦ ζῴου σημειούμενοι τὸν καιρὸν τῆς ἐπιτολῆς τοῦ ἄστρου.

οἱ ἐτησίαι ἀπὸ τῆς Κυνὸς ἑῴας ἐπιτολῆς ὡς ἐπὶ πλεῖστον ξ' ἡμέρας πνέουσιν. ὠνομάσθησαν δὲ οὕτως ἢ ὅτι κατ' ἔτος πνέουσι ταῖς τακταῖς αὐτῶν ἡμέραις, παρὰ τὸ ἔτος· ἢ τὸ ἐτεὸν διὰ τὸ μηδέποτε μεταβάλλειν αὐτούς, ὅταν ὁ καιρὸς αὐτῶν ἐνστῇ. καλῶς δὲ τὰ μεγάλα σκάφη τότε χρήσιμα· τότε γὰρ τὸ κῦμα μέγα καὶ τὸ πνεῦμα σφοδρόν. παρηκολούθησε δὲ Ἡσιόδῳ· "νῆ' ὀλίγην αἰνεῖν, μεγάλῃ δ' ἐνὶ φορτία θέσθαι."

155. τὰ πηδὰ κατὰ συγκοπὴν τὰ πηδάλια ἤγουν τὰς κώπας, ἀπὸ τοῦ πηδῶ. καὶ Ὅμηρος "ἀνεῤῥίπτουν ἅλα πηδῷ."

156. ἐπανῆλθεν ἀπὸ τοῦ ζῳδιακοῦ πάλιν ἐπὶ τὰ βόρεια. τὸ δὲ ἀστέρας διδασκαλικῶς· τρεῖς γὰρ ἔχει ἐν τῇ χειρί, ὧν ὁ μὲν ὑπὸ τὸν ὦμον σφόδρα ἐστὶ λαμπρὸς καὶ καλεῖται Αἴξ, οἱ δὲ ἄλλοι δύο ἐφεξῆς ἀμαυρότεροι, οἳ καλοῦνται Ἔριφοι. καὶ χαριέντως τὸν ἔκλαμπρον ὡς ἐπὶ μητρὸς Αἶγα εἶπε, τοὺς δ' ἀμυδροτέρους Ἐρίφους ὡς νεογνά. ὁ δὲ μῦθος οὕτως ἔχει, ὅτι ἡ Αἲξ αὕτη γυνὴ ἦν Ἀρκαδική, ἥτις ἀνέθρεψε τὸν Δία. καὶ φασὶν ὅτι μετὰ θάνατον λαβὼν αὐτῆς τὸ δέρμα κατὰ τὴν συνείλησιν περιέθετο

καὶ αὐτὴν κατηςέρισε· διὸ Αἴγειος κικλήσκεται ἀνθρώποισι. ταύτην δὲ καλοῦσι καὶ Ἀμάλθειαν.

158. πορφυρεύσῃ: μελαινομένῃ· κινεμένη γὰρ ὑπὸ τῶν ἀνέμων ταύτην ποιεῖται τὴν ςάσιν. τὸ δὲ κεδαιομένες (159) ἀντὶ τε φθειρομένες. γράφεται καὶ κεραιομένες ἀντὶ τε κεραΐζομένες· ἡ γὰρ ἑῴα δύσις τῶν Ἐρίφων χειμῶνα φέρει ἡλίε Τοξότην διανύοντος. ἡ δὲ Αἴξ τὴν ἑῴαν ποιεῖται δύσιν ἡλίε ὄντος ἐν Αἰγοκέρωτι, περὶ τὰς χειμερινὰς τροπάς.

161. Διδύμων ἐπὶ λαιᾷ: ὁ γὰρ Ἡνίοχος βορειότερός ἐςι τῶν Διδύμων, ὥςε ἀνατελλόντων Διδύμων κατὰ πόδας τὰ εὐώνυμα μέρη ὁρίζεσθαι αὐτῶν πρὸς βοῤῥᾶν, καὶ διὰ τἕτο τὸν Ἡνίοχον κατὰ κεφαλὴν ἀνατέλλοντα παρακεῖσθαι τοῖς εὐωνύμοις μέρεσι τῶν Διδύμων.

161. σφόδρα ὁ Ἄρατος ἀκριβῶς τῷ ζῳδιακῷ κατὰ θέσιν φησὶ τὸ κεκλιμένον· ἑ γάρ ἐςιν ἐξόρθιος, ἀλλ' ὥσπερ ἐπινεύων καὶ πρὸς τὸ ἐλαύνειν ἐπειγόμενος.

ἄκρα κάρηνα: πληθυντικῷ ἐχρήσατο ἀντὶ ἑνικε, ἀντὶ τε ἡ κεφαλὴ αὐτε ἀντία δινεύει. ἱερὴ δέ, ὅτι τὸν Δία ἐθήλασεν. οἱ δὲ μυθολόγοι τὸν Ἡνίοχον λέγεσιν εἶναι εἴδωλον ἢ Βελλεροφόντου ἢ Τροχίλου τοῦ Καλλιθέας παιδὸς τῆς πρώτης ἐν Ἄργει γενομένης ἱερείας, ἅρμα πρώτε ζεύξαντος· ἄλλοι δὲ Μυρτίλε. οἱ δὲ Κέλλαντος τε Πέλοπος ἡνιόχε εἶπον, οἱ δὲ Οἰνομάε. τὴν δὲ Ἀμαλθείαν αἶγα Νίκανδρος Διὸς τροφὸν φησι. φαίη δ' ἄν τις ἀτεχνῶς εἴδωλον τὲς περὶ θεῶν ταῦτα ληρεντας.

164. ὠλενίη λέγεται διὰ τὸ ἐπὶ τῆς ὠλένης τοῦ Ἡνιόχου. . . . ἢ ὡς ἄλλοι, Ὠλένου θυγάτηρ.

167. πάλιν ἐγνωσμένως ἀπὸ τῶν παρακολεθέντων εἰς τὸν ζῳδιακὸν κατέρχεται. κεραὸν δὲ διὰ τὴν τῶν κεράτων θέσιν. τὸ δὲ πεπτηότα διὰ τὸ ποιὸν κατάςημα· ὥσπερ γὰρ ὀκλάσας ἐςίν, ἡμίτομος δὲ τὲς ὀπισθίες ἐκ ἔχων πόδας. τἕτον δὲ οἱ μὲν τὸν τὴν Εὐρώπην διαπορθμεύσαντα ἐκ Φοινίκης εἰς Κρήτην διὰ τε πελάγες κατηςερίσθαι φασίν, οἱ δὲ τἕτον ἕ Πασιφάη ἠράσθη, οἱ δὲ τὸν ἐκ Κρήτης εἰς Μαραθῶνα παραγένομενον, ὃν Θησεὺς κατηγωνίσατο. τὸ δὲ μαίεσθαι (168) ἐπισκοπεῖν, ἐπιζητεῖν. ὁ νες δέ, παρὰ τοῖς ποσὶ τε Ἡνιόχε ὑποπεπτωκότα ζήτει τὸν Ταῦρον. τὸ δὲ ἐοικότα ὅμοια· οἱ γὰρ ἀςέρες αὐτε βέκρανον ἀληθῶς διαγράφεσι, καὶ διὰ τἕτό εἰσι γνώριμοι, ἐδενὸς τῶν γειτνιώντων πρὸς κατανόησιν δεόμενοι, ὡς ὁ Κριὸς ἀμυδρὸς ὢν ἀπ' ἄλλων εὑρίσκεται.

169. θαυμαςικῶς τὸ τοίη, ἀντὶ τε τοιαύτη κεφαλὴ ἔκλαμπρος ὑποφαίνεται καὶ ἔκκριτός ἐςι· καὶ ἐκ ἄν τις ἐξ ἄλλε τεκμηρίε ἔτι σκέψαιτο τὴν τε Ταύρε κεφαλήν, ἀλλ' ἐκ τῶν τὸ πρόσωπον ἀποτελέντων ἀςέρων.

172. τυπόωσιν: ἐκ τῶν δύο γραμμῶν τε Υ ςοιχείε· αἱ γὰρ Ὑά-

Digitized by Google

θες τȣ̃το τὸ ϛοιχεῖον ἀπομιμȣ́μεναι τὸ ταύρειον ἀποτελȣ̃σι πρόσωπον. τινὲς μὲν ȣ̂ν φασὶν ὅτι διὰ τȣ̃το ταύτας Ὑάδας εἶπεν, οἱ δὲ ὅτι δυόμεναι αἰτίαι ὑετȣ̃ γίνονται.

172. ȣ̓κ ἀνωνύμως, φησί, φέρονται αἱ Ὑάδες ἐν τῷ μετώπῳ τȣ̃ Ταύρȣ. Θαλῆς μὲν ȣ̂ν β' αὐτὰς εἶπεν εἶναι, τὴν μὲν βόρειον τὴν δὲ νότιον, Εὐριπίδης δὲ ἐν τῷ Φαέθοντι γ', Ἀχαιὸς δὲ δ', Ἱππίας δὲ καὶ Φερεκύδης ζ'. ἡ δὲ προσωνυμία ἐϛίν, ὅτι τὸν Διόνυσον ἀνεθρέψαντο· Ὕης δὲ ὁ Διόνυσος. Εὐφορίων "Ὕῃ ταυροκέρωτι Διωνύσῳ κοτέσασα." οἱ μὲν ȣ̂ν β' λέγοντες τȣ̀ς ἐπὶ τῶν ὀφθαλμῶν τȣ̃ Ταύρȣ φασίν· οἱ δὲ γ' προσλαμβάνȣσι καὶ τὸν ἐπὶ τῷ χήλῳ. Εὐριπίδης μὲν ȣ̂ν ἐν Ἐρεχθεῖ τὰς Ἐρεχθέως θυγατέρας Ὑάδας φησὶ γενέσθαι γ' ȣ̂σας, ὁ δὲ Μυρτίλος τȣ̀ς Κάδμȣ θυγατέρας· κληθῆναι δὲ ȣ̈τως δι' ἣν εἴπομεν αἰτίαν. Ἡσίοδος δέ φησι περὶ αὐτῶν "νύμφαι Χαρίτεσσιν ὁμοῖαι, Φαισύλη ἠδὲ Κορωνὶς ἐϋϛέφανός τε Κλέεια Φαιώ θ' ἱμερόεσσα καὶ Εὐδώρη τανύπεπλος, ἃς Ὑάδας καλέȣσιν ἐπὶ χθονὶ φῦλ' ἀνθρώπων."

174. λαιοῦ δὲ κεράατος: τὸ δὲ ἄκρον τȣ̃ ἀριϛερȣ̃ κέρατος τȣ̃ Ταύρȣ καὶ τὸν ἀριϛερὸν πόδα τȣ̃ Ἡνιόχȣ εἷς ἀϛὴρ ἐπέχει. συνεληλάμενοι δὲ (176) ἤγȣν συνηρμοσμένοι φέρονται. ἀνεβιβάσθη δὲ ὁ τόνος ἀναιρεθέντος τȣ̃ σ, ὡς ȣ̓τάμενοι.

177. τάχιον δύεται ὁ Ταῦρος, ἐπεὶ νοτιώτερός ἐϛι τȣ̃ Ἡνιόχȣ· τὰ δὲ νότια πλέον ὑπὸ γῆν μέρος ἔχει. καὶ ὅλως τὰ ἐπὶ διαφόρων παραλλήλων κύκλων ἄϛρα τὰς ἀνατολὰς ἅμα ποιησάμενα ȣ̓χ ἅμα δύεται· τὸ γὰρ βορειότερον κατὰ μείζονος κύκλȣ φερόμενον ὑϛερεῖται τῷ χρόνῳ τῇ δύσει, τὸ δὲ νοτιώτερον κατενεχθήσεται ὡς ἂν ἐλάσσονα κύκλον φερόμενον. ἀκȣϛέον δὲ συνανατέλλειν τῷ Ταύρῳ τὸν Ἡνίοχον ȣ̓χ ὅλον ὅλως· τȣτὶ γὰρ ψεῦδος· ἀλλ' ὅσα τῶν μερῶν συνανατέλλει, ταῦτα οὐ συγκαταδύεται διὰ τὴν ἔγκλισιν τȣ̃ κόσμȣ.

ὁμηλυσίη περ ἀνελθών: καίπερ ὁμοῦ ἀνελθών. λέγει δὲ ὅτι ὁ Ταῦρος σὺν τῷ Ἡνιόχῳ ἀνατείλας ὁμȣ̃ πρότερον δύνει. τὸ δὲ προφερέϛερος ἀντὶ τȣ̃ κρείττων. ὥσπερ δὲ ὁ ποιητὴς τὰ κατὰ φυσικὴν αἰτίαν εἰωθότα γίνεσθαι ὡς ἐν παραδόξῳ λαμβάνει καὶ ὡς καινότερα αὐτὰ καὶ ἀδύνατα, ȣ̈τω καὶ ὁ Ἄρατος ἐπὶ τȣ̃ Ταύρȣ καὶ Ἡνιόχου φησὶν ὅτι ὁ Ταῦρος τȣ̃το καινότερον καὶ ἄμεινον ἔχει· συνανατέλλων γὰρ τῷ Ἡνιόχῳ πρότερον αὐτȣ̃ δύνει. τὸ δὲ ὁμηλυσίη ἀντὶ τȣ̃ ἅμα καὶ κατὰ ταὐτό. τὸ δὲ αἴτιον, ὅτι τὰ βόρεια ἢ ὅλως ȣ̓ δύεται ἢ καταδύεται· οἷον Ἄρκτοι ὅλως ȣ̓ δύȣσιν, ὁ δὲ Κηφεὺς καταδύεται, ὅσον αὐτȣ̃ ἐϛὶν ἐκ τȣ̃ νοτίȣ· ὁ δὲ Ἡνίοχος βραδέως δύνει, ὥσπερ τὰ ὑποκείμενα αὐτῷ νοτιώτερα ζῴδια.

179. πάλιν ἕως τȣ̃ ζῳδιακȣ̃ ἐλθών, καὶ διδάξας τὰ περὶ τȣ̃ Ταύρȣ, ἀνέδραμεν ἐπὶ τὰ λειπόμενα τȣ̃ βορείȣ. πάλιν δὲ ȣ̓δὲ τὸν Κηφέα ἀφ' ἑαυτȣ̃ διδάσκει, ἀλλ' ὥσπερ τὰ φθάσαντα διὰ τῶν ἐγνωσμένων, οὕτω



Digitized by Google

καὶ τοῦτον διὰ τῆς ἤδη γνωσθείσης τῆς Κυνοσούρας Ἄρκτου. τὸ δὲ μ ο γ ε ρ ὸ ν διὰ τὴν συμβᾶσαν συμφορὰν ἐν τῷ οἴκῳ αὐτοῦ χάριν Κασσιεπείας· αὕτη γὰρ ἤρισε ταῖς Νηρηΐσι περὶ κάλλους, αἱ δὲ ὀργισθεῖσαι κῆτος ἐπαφῆκαν τῇ Αἰθιόπων. ἔχρησε δὲ ὁ θεός, εἰ μὴ ταύτης θυγάτηρ Ἀνδρομέδα παραδοθῇ τῷ κήτει, μὴ ῥύσασθαι· ἡ δὲ ἐξετέθη. παριὼν δὲ ὁ Περσεὺς ἔσωσε τῇ Γοργόνι τὴν Ἀνδρομέδαν. πάντα οὖν κατηστερίσθησαν· ... τὸν δὲ ἁπλώσαντα τὰς χεῖρας, ὥσπερ ὑπόμνημα τοῦ πάθους φέροντα. Ἰασίδην δὲ τὸν Κηφέα εἶπε διὰ τὸ ἔχειν τὸ γένος ἀπὸ Ἰνάχου. ἢ ἀπὸ μητρὸς αὐτὸν κατωνόμασεν· οὐ γάρ ἐστιν ὁ Κηφεὺς Ἰάσου, ἀλλ' Ἰοῦς τῆς Ἰνάχου. Ἰασίδης οὖν ὡς υἱὸς Ἰοῦς· Ἰοῦς γὰρ Ἔπαφος, οὗ Λιβύη, ἧς Βῆλος, οὗ Ἀγήνωρ, οὗ Κηφεύς.

181. ἐπειδὴ δοκοῦσιν οἱ βασιλεῖς ἀπὸ Διὸς ἔχειν τὸ γένος. ἢ εἰς τὸν οὐρανὸν ἔφθασεν ὁ Κηφεύς, ἐπειδὴ ἀπόγονος ἦν Διός· πρόγονος γὰρ αὐτοῦ ἡ Ἰώ.

184. ἴση δὲ εὐθεῖα, φησίν, ἡ διάμετρος ἀπὸ τῆς Ἄρκτου ἕως τῶν ποδῶν τοῦ Κηφέως ἀμφοτέρων καὶ ὅση ἀπὸ ποδὸς ἐς πόδα τείνει. ἤγουν ὅσον ἀπέχουσιν αὐτοῦ οἱ πόδες ἀπ' ἀλλήλων, τοσοῦτον ἀπέχει τῆς Ἄρκτου ἡ οὐρὰ ἑκατέρου τοῦ ποδὸς τοῦ Κηφέως. σ τ ά θ μ η δὲ ἡ εὐθεῖα γραμμή. ν ε ά τ η ς δὲ ο ὐ ρ ᾶ ς τῆς Κυνοσούρας Ἄρκτου. τὸ δὲ πᾶν, ἀπὸ ἄκρας τῆς οὐρᾶς εὐθεῖά τις γραμμὴ φέρεται εἰς ἑκάτερον πόδα τοῦ Κηφέως, τοσοῦτον ἀπέχουσα διάστημα ὅσον καὶ ἀπὸ τοῦ ποδὸς τοῦ Κηφέως ἐπὶ τὸν ἄλλον πόδα, ὡς εἶναι τὸ μέγεθος τρίγωνον ἰσόπλευρον, ἀπὸ τῆς οὐρᾶς εἰς τὸ τῶν δύο ποδῶν αὐτοῦ διάστημα.

186. ἐπεὶ ἡ τοῦ Κηφέως ζώνη ἀμυδρά ἐστιν, ἐκ τοῦ παρακειμένου δὴ Δράκοντος διδάσκει. ὁ δὲ νοῦς· κάτω δὲ τῆς τοῦ Κηφέως ζώνης ὀλίγον ἱ έ μ ε ν ο ς καὶ περισκοπήσας βλέψειας τὴν Δράκοντος πρώτην καμπήν, ὅ ἐστι τὴν ἀπὸ τῆς κεφαλῆς τοῦ Δράκοντος κύκλωσιν.

188. ἀνατολικώτερον προθεωρεῖται· τὸ γὰρ π ρ ο κ υ λ ί ν δ ε τ α ι τοῦτο σημαίνει, οὐ τὸ ἀσχημόνως κεῖσθαι· πλατεῖα γὰρ καθ' ἑκάτερον. ἔνιοι δὲ νομίζουσιν ἠγνοηκέναι τὸν Ἄρατον ὅτι ἡ Κασσιέπεια ἐπανατέλλει τῷ Κηφεῖ καὶ ἐπικαταδύνει, μὴ νοήσαντες ὅτι ἔθος ἐστὶ τῷ ποιητῇ τὴν ἀνατολὴν πρότερον καλεῖν. τὸ οὖν προκυλίνδεται σημαίνει ὅτι ἡ Κασσιέπεια ἀνατολικωτέρα τοῦ Κηφέως. τὸ δὲ δ α ι μ ο ν ί η ἤγουν κακοδαίμων, διὰ τὰ φαινόμενα καὶ συμβάντα αὐτῇ, ἢ μακαρία, διὰ τὸ ἐν θεοῖς εἶναι.

ο ὐ μ ά λ α π ο λ λ ή: καὶ γὰρ μικρὸν ἐπέχει τοῦ οὐρανοῦ τόπον, καὶ οὐ πάντη ἐν νυκτὶ πανσελήνῳ λαμπρὰ φαίνεται· οὐ γὰρ πολλοὶ λαμπρύνουσιν ἀστέρες.

191. ἡ Κασσιέπεια ἀστέρας ἔχει ἐπὶ τοῦ σώματος ἐκ διαστήματος ἀλλήλων κατ' εὐθεῖαν ὡς ἔγγιστα κειμένους, ὧν ὁ βορειότατος ἐπὶ τῆς καθέδρας ἐστίν, ὁ δὲ νοτιώτατος ἐπὶ τῆς κεφαλῆς. οἱ δὲ τούτων μεταξὺ

Digitized by Google

δύο τὸ τῆς Λακωνικῆς δικλίδος σχῆμα ποιοῦντες, ὧν τὸ μὲν ἐν γραμμῇ ἕςι, τὸ δὲ πλάγιον τὰ γόνατα.

192. οἴην δὲ κληῗδι: τῷ ἔνδοθεν ἡρμοσμένην εἶναι τὴν κλεῖν ἀρχαϊκῶς· οὐ γὰρ ὡς νῦν ἐκτός εἰσιν αἱ κλεῖδες, ἀλλ' ἔνδον τὸ παλαιὸν παρὰ Αἰγυπτίοις καὶ Λάκωσι. καὶ Ὅμηρος οἶδε τὸ τοιοῦτον, ὅτι ἔσωθεν τὰ θυρώματα κατακλείονται, ἐν οἷς φησὶ "κληῗδι θύρης ἀνέκοπτεν ὀχῆα." ἔςιν οὖν ἡ Κασσιέπεια οὐχὶ πᾶσα φανερά, ἀλλ' ὡς κλειδὸς ἔχουσα σχῆμα. καὶ οἱ ἀςέρες δὲ οὐκ ἀθρόοι τὸ σῶμα ἀποτελοῦσιν, ἀλλ' οἱ μὲν πλάγιοι τὰς χεῖρας ἐκτεταμένας, οἱ δὲ κατωτέρω ἅμα καὶ πόδας καὶ τὴν καθέδραν, ὡς δικλίδα. τὸ δικλίδα δὲ σημαίνοι ἂν καὶ τὸ δίθυρον. τὸ δὲ μουνὰξ (194) εἷς ἐφ' ἕνα, οὐχ ἅμα πολλοὶ ὀλίγων τῶν ἀμυδρῶν ὄντων.

195. ἡ δὲ Κασσιέπεια ἀποτεταμένας ἔχει τὰς χεῖρας εἰς ὀργυιάν· ἐσχημάτιςαι γὰρ ὥσπερ ςερνοκοπουμένη. καὶ εἴποις ἂν αὐτὴν ἐν τῷ τοιῷδε σχήματι ὥσπερ ἐπανιᾶσθαι τῇ παιδὶ καὶ λυπεῖσθαι.

197. αἰνὸν τὸ χαλεποῖς πάθεσιν ὑποπεπτωκός.

198. κεκασμένον διατετυπωμένον. τὸ δὲ κυλίνδεται πάλιν τὴν θέσιν πρὸς τὴν συμφοράν.... τὸ δὲ ἄγαλμα ἤτοι καταχρηςικῶς τὸ εἴδωλον, ἢ διότι κατηςέριςαι μετὰ παντὸς τοῦ γυναικείου κόσμου καὶ ὥσπερ κεκοσμημένον. ἢ κεκασμένον, οἱονεὶ κεχωρισμένον· οὐ γὰρ πάνυ πλησίον αὐτῆς ἐςί. γράφεται καὶ κεκλασμένον, ἵν' ᾖ τεθρυμμένον. τὸ δὲ ὑπὸ μητρὶ ὡς πρὸς σύγκρισιν τῆς μητρός. κεῖται δὲ ἐν τοῖς ἄςροις ἡ Ἀνδρομέδα διὰ τὴν Ἀθηνᾶν, τῶν Περσέως ἄθλων ὑπόδειγμα· ἔχει δὲ αὕτη τὰς χεῖρας ἐκτεταμένας, ὡς προετέθη τῷ κήτει.

οὔ σε μάλ' οἴω: ὁ νοῦς οὕτως· οὐδαμῶς δέ σε ὑπολαμβάνω νύκτα ἐπιτηρῆσαι ἀσέληνον, ἵν' εὐσυνόπτως τὴν Ἀνδρομέδαν θεάσῃ· καὶ γὰρ αὐτόθι λαμπροτάτη οὖσα καὶ ἐν παμμήνιδι νυκτὶ φαίνει. τὰ δὲ ζώματα (201) ἱμάτια. δειωλενίη δὲ (202) ἐκτεταμένας ἔχουσα τὰς χεῖρας.

205. πάλιν ἀπὸ τῆς Ἀνδρομέδης διδάσκει τὸν Πήγασον, ὃς ἐςιν ἡμίτομος κατὰ τὸν ςηριγμόν, ἐπὶ τὴν κεφαλὴν τῆς Ἀνδρομέδης κείμενος. πέλωρ δὲ ἤτοι ἀπὸ τοῦ τμήματος τὸν ὅλον ἀναλογιζόμενος, ἢ διὰ τὸ λαμπροὺς ἔχειν τοὺς ἀςέρας. γαςρὶ δὲ νειαίρῃ (206) τῇ ἡμιτόμῳ γαςρί· ἐπιφαύει γὰρ τῆς Ἀνδρομέδης εἷς ἀςήρ, ὃς διαζεύγνυσι τῆς τε Ἀνδρομέδης τὴν κεφαλὴν καὶ τὴν τοῦ Ἵππου ἡμίτομον γαςέρα.

208. ἡ ἔννοια αὕτη ἐςίν, εἰσὶ καὶ ἄλλοι τρεῖς ἀςέρες, οἵτινες ἴσον ἔχοντες διάστημα πρὸς τὸν εἰρημένον ἀστέρα τετράγωνον ἰσόπλευρον ἀποτελοῦσι καὶ τὸν εἰκονισμὸν τοῦ Ἵππου εὔσημον ποιοῦσι, λαμπροὶ ὄντες. καλοὶ καὶ μεγάλοι δὲ (210) κατὰ τὸ φῶς· οὐ γὰρ ἀμυδροί εἰσιν οἱ ἐκεῖσε ἀςέρες. τὸ δὲ δολιχὸς (211) τοῦτο δηλοῖ, ὅτι καίτοι ἐπιμήκης ὢν ὁ αὐχὴν τοῦ Ἵππου, ἀλλ' οὖν οὐχ ὁμοίους ἀςέρας ἔχει τοῖς ἐπὶ ταῖς πλευραῖς, οὔτ' αὐτὸς οὔθ' ἡ κεφαλή· ἀμυδροὶ γάρ εἰσιν οἱ ἐκεῖσε ἀςέρες. καὶ Ὅμηρος δὲ τοὺς ἵππους ἐριαύχενας καλεῖ. τὸ δὲ αἰθομένης γέ-

Digitized by Google

νυος (212), ὅτι ἐπ᾽ ἄκραν τὴν γένυν ἀςέρα ἔχει, ὃς τοῖς προειρημένοις τέτρασιν ἀστράσιν ἴσος ἐςὶ κατὰ τὸ φῶς. ἡμιτελὴς δέ ἐςιν (215) αὐτὰ τὰ ἐμπρόσθια φαίνων ἄχρι τοῦ ὀμφαλοῦ. οἱ μὲν οὖν αὐτόν φασιν εἶναι τὸν κολάψαντα τὴν κρήνην ἐν τῷ Ἑλικῶνι· ὃ δὴ ὕδωρ ἀπὸ τῆς γῆς ῥεῖ, καὶ οὐδέποτε τοῦτο ὄψει ἐκτὸς τῶν τὴν Θέσπειαν οἰκούντων· ὑπὸ τὰς ὑπωρείας γὰρ τοῦ Ἑλικῶνος ἡ Θέσπεια κεῖται, ἐν δὲ ταῖς ὑπωρείαις ἡ κρήνη ἐςί. καλεῖται δὲ οὕτως ἰδίως αὕτη ἡ πηγή, κρήνη. ἱερὸς δὲ ὁ Ἵππος ἤτοι ὅτι κατηςέρισαι, ἢ ὅτι ὁ Ποσειδῶν αὐτὸν ἐγέννησεν, ἢ ὅτι βροντὴν καὶ ἀστραπὴν φέρει, καθὸ ἐμφερής ἐςι τῷ Διί. εἴληφε δὲ τὴν ἱςορίαν παρ᾽ Ἡσιόδου· διό φησιν (220) οἱ νομῆες πρῶτοι ἐκεῖνο τὸ ποτὸν κρήνην ὠνόμασαν.

223. ὁ δὲ Ἵππος ἐν τῷ τοῦ Διὸς οἴκῳ ἤγουν τῷ οὐρανῷ ἐςίν. ἢ ὡς Διόδωρος, ἔνδιος ὁ μεσημβρινός· "ἔνδιος δὲ ὁ γέρων ἦλθεν ἐξ ἁλός." κεῖται γὰρ μεταξὺ τοῦ θερινοῦ τροπικοῦ καὶ τοῦ ἰσημερινοῦ. Θέσπεια δὲ πόλις Βοιωτίας ὑπὸ τῷ Ἑλικῶνι, ἀπὸ Θεσπείας τῆς Ἀσωποῦ, ᾗ τρεῖς δωρεὰς Ἀπόλλων δέδωκεν, ἐπώνυμον αὐτῆς πόλιν ἐπὶ γῆς, ἐν οὐρανῷ τὴν παρθένον, ἐν τοῖς μαντείοις τὸ θεσπίζειν.

225. Κριοῖο: τοῦτον τὸν Κριὸν Ἐρατοσθένης εἶναί φησιν Ἕλλης καὶ Φρίξου, ὃν θύσας τῷ φυξίῳ Διὶ Φρύξος τὴν δορὰν δέδωκε τῷ Αἰήτῃ· διὸ καὶ τοὺς ἀςέρας αὐτοῦ ἀμαυροῦσθαί φησιν ὡς ἐκδαρέντος. τὸ δὲ αὐτοῦ ἐπὶ τοῦ Ἵππου κεῖται, φησὶ δὲ τοῦ τε Ἵππου καὶ τοῦ Κριοῦ διὰ τὸ πλησίον εἶναι τοῦ ἰσημερινοῦ ταχυτάτην εἶναι τὴν κίνησιν. δύναται δὲ καὶ τοπικῶς τὸ αὐτοῦ ὑπακούεσθαι, οἷον ἐνθάδε. φασὶ δὲ ὅτι ἀκαίρως ἦλθεν ἐπὶ τὸν Κριὸν ἀπὸ τοῦ Ἵππου· ἔδει γὰρ τὰ ὑποκείμενα δηλῶσαι, τοὺς Ἰχθύας ἢ τὸν Ὑδροχόον. ἀλλὰ φαμὲν ὅτι ἀπὸ τοῦ Σκορπίου τοὺς ἐφεξῆς τοῦ Ταύρου διδάξας ἔπειτα ἦλθεν ἐξῆς ἐπὶ τὸν Κριόν· οὗτος δὲ πλησίον Ἀνδρομέδης· ὀλίγον γὰρ ὑπ᾽ αὐτὴν ἐςηρίχθαι ὑποκατιὼν αὐτός φησι (230). τὸ δὲ θοώταται διὰ τὴν ἐπαγομένην θεωρίαν.

226. πληθυντικῶς εἶπε μήκιςα κύκλα, τὸν ἰσημερινὸν δὲ δηλοῖ· μέγιςος γὰρ ἐςι πάντων, ἐπειδὴ καὶ μέσην τέμνει τὴν σφαῖραν. τὸ δὲ διωκόμενος χαριέντως εἶπεν ὡς πρὸς τὰς ταχείας αὐτοῦ ὁδούς· ὥσπερ οὖν προείπομεν ὅτι τὸ κατὰ φύσιν ἔχον ἐν θαυμασμῷ λαμβάνει· ἀεὶ γὰρ ἡ σφαῖρα ὁμοχρόνως ἑαυτῇ πᾶσα κινεῖται. ἔςι δὲ ὁ Κριὸς ὑπὸ τοῦ ἰσημερινοῦ μέσος τεμνόμενος· διὸ καὶ ἰσημερία ἐςὶ τοῦ ἡλίου ἐν Κριῷ γενομένου. ἀνατέλλοντος τοίνυν τοῦ Κριοῦ ἡ Κυνόσουρα μέση ἐςὶν ὑπὸ τὸν μεσημβρινόν· ἀνύοντος δὲ τοῦ Κριοῦ τὸ ὑπὸ γῆν ἡμισφαίριον, εἶτα πάλιν ἐπ᾽ ἀνατολὰς ἐρχομένου, ἰσοχρόνως κινεῖται ἡ Κυνόσουρα περὶ τὸν βόρειον πόλον. φησὶν οὖν, καίτοι μέγιςα κύκλα ἀνύων ὁ Κριὸς κατ᾽ οὐδὲν αὐτῆς ὅμως βραδύτερον κινεῖται. ἔςι δὲ ἰδεῖν καὶ ἐπὶ τοῦ τροχοῦ τοῦτο· τῷ γὰρ παντὶ κύκλῳ τοῦ τροχοῦ συμφέρεται ἡ χοινικίς, καίτοι ἔλαττον ςρεφομένη. τὸ δὲ τροχάει (227) ἀντὶ τοῦ κινεῖται.

Digitized by Google

228. νωθής: βραδύς. δοκεῖ δὲ ἐναντία ἔχειν τοῖς προειρημένοις· ἀλλὰ τὸ βραδὺς εἴρηται πρὸς τὴν κατάληψιν· ἀμυδρὸς γάρ ἐςι. τὸ δὲ οἷα σελήνῃ ἀντὶ τοῦ ὥσπερ ἐν πληθούσῃ σελήνῃ φαινόμενος· αὕτη γὰρ ὅτε πλήθει, ἀμυδρότερα ποιεῖ τὰ ἄςρα. ἄνευ ἓν σελήνης αὐτὸς ἀμυδρός ἐςιν.

229. ἄρα ἓν ἀπροόρατος ὁ Κριός, καὶ ὐκέτι ὁ περὶ τῶν φαινομένων λόγος ἔῤῥωται, ἀλλὰ πεπίςευται αὐτὸν ὑπὸ τὴν Ἀνδρομέδης ζώνην τυγχάνειν, ἥτις ζώνη λαμπρά ἐςι. τὸ δὲ ἐςήρικται (230) καλῶς ἐπήνεγκεν, ἵνα μή τις νομίσῃ ὅτι τῶν πλανητῶν ἐςίν, ἐπειδὴ διωκόμενον αὐτὸν εἶπεν.

231. τρίβει: ἀνύει, διαπορεύεται· ὅθεν καὶ τρίβυς τὰς τετριμμένας ὁδὺς φασίν. ὁ δὲ νῦς, κατὰ τὸ μέσον τῦ ὐρανῦ πορεύεται· ἐν γὰρ τῷ ἰσημερινῷ κύκλῳ ἐςίν. εἶτα ἐπειδὴ ὄψει ὐκ εἰσὶν οἱ κύκλοι καταληπτοὶ πλὴν μόνυ τῦ γαλαξίυ, διὰ τῦτο ἐπήγαγε καὶ δίδωσιν ἕτερα σημεῖα, ὧν ἰσημερινὸς κύκλος ἐφάπτεται. ὅπυ, φησίν, ἄκραι Χηλαί· ἄκρως γὰρ ἀμφοτέρων τῶν Χηλῶν ἐπιψαύει ὁ ἰσημερινὸς καὶ τῆς ζώνης τῦ Ὠρίωνος· μέσος δὲ ὁ κύκλος ὗτος ἐπίκειται.

233. σαφηνίσας οὖν περὶ τοῦ Κριοῦ, ἐν ᾧ ἰσημερίαν ἐαρινὴν ὁ ἥλιος ποιεῖ, ἐπεμνήσθη καὶ τῶν Χηλῶν, ἐν αἷς ἡ φθινοπωρινὴ ἰσημερία γίνεται. ἐπεὶ δ' ἀμυδρός ἐςιν ὁ Κριὸς καὶ δυσκαταλήπτως ἔχει, πειρᾶται διὰ σημείων πολλῶν τῦτον εὐκατάληπτον ποιῆσαι, καί φησιν ὅτι καὶ ἄλλο ἐςὶ σημεῖον πλησίον, ὑποκάτω τῆς Ἀνδρομέδης, ὃ Δελτωτὸν καλεῖται· τῷ γὰρ δέλτα ςοιχείῳ εἴκασαι. τὸ δὲ Δελτωτὸν τρίγωνόν ἐςιν ἰσοσκελές, οὐκ ἰσόπλευρον· τὰς γὰρ κατιούσας πλευρὰς ἴσας ἔχει, τὴν δὲ κάτωθεν ὑποτείνουσαν βραχυτέραν ἐκείνων. τύτων δὲ τῶν σημείων τοῦ Δελτωτοῦ καὶ τῆς ζώνης τῆς Ἀνδρομέδης μικρὸν διέςηκεν ὁ Κριὸς νοτιωτέραν ἔχων τὴν θέσιν. λέγεται δὲ διὰ τὸ τὸν Κριὸν ἀμαυρότερον εἶναι ἐπίσημον ἐπ' αὐτοῦ κεῖσθαι τὸ γράμμα, ἀπὸ Διὸς τὸ πρῶτον τοῦ ὀνόματος δι' Ἑρμοῦ τεθέντος. φασὶ δὲ καὶ τὴν τῆς Αἰγύπτου θέσιν εἶναι κατὰ τὸ σχῆμα τῦ ἐν τοῖς ἄςροις τριγώνυ. ἔχει δὲ ἐφ' ἑκάςης γωνίας ἀςέρας δ'. ἔςι δὲ καὶ ἐν τῷ βορείῳ ἡμισφαιρίῳ.

236. ἡ δ' ἔτι τόση: λείπεται γὰρ ἡ κάτω τῦ Δελτωτῦ γραμμὴ κατὰ τὸ μέγεθος τῶν λοιπῶν πλευρῶν. ὅμως εὐκατάληπτός ἐςι· περισσῶς γὰρ διὰ τῶν προκειμένων ἀςέρων ἐςὶν ἔκλαμπρος.

238. τύτων τῶν ἐν ἐκείνῃ τῇ γραμμῇ τῦ Δελτωτῦ ἀςέρων οἱ δύο τῦ Κριῦ νοτιώτεροί εἰσι· κατωτέρω γὰρ τὸ Δελτωτὸν βορειότερον. οἱ δὲ τῦ Δελτωτῦ ἀςέρες προτέρω· βορειότεροι γάρ.

239. ἔτι δ' ἐν: καὶ μὴν ὄπισθέν εἰσι τοῦ Κριοῦ οἱ Ἰχθύες· ἀλλ' ὡς πρὸς τὴν τῦ ἡλίυ εἰσβολὴν ὡς πρώτυ ἐν ἐκείνοις εἰσερχομένυ περὶ τὸν Κριόν. τῦ Κριοῦ οἱ Ἰχθύες καὶ δυτικώτεροι καὶ νοτιώτεροί εἰσιν. ὁ βόρειος δὲ Ἰχθὺς μᾶλλον τοῦ βοῤῥᾶ αἰσθάνεται· τὸ γὰρ

Digitized by Google

ἀκούει τὸ αἰσθάνεσθαι σημαίνει· τὸ δὲ τοιοῦτον εἶδος ἀντὶ γένους εἴρηται. οὗτοι δέ εἰσιν οἱ τοῦ μεγάλου Ἰχθύος ἔκγονοι, περὶ οὗ ἐν τοῖς ἑξῆς ἐρεῖ, οἵτινες Δέρκην τὴν Ἀφροδίτης θυγατέρα ἐμπεσοῦσαν εἰς θάλασσαν ἔσωσαν· ὅθεν εἰς τιμὴν τῆς θεᾶς οἱ Σύριοι Ἰχθύων ἀπέχονται. τούτων ὁ μὲν βόρειος, ὁ δὲ νότιος. ἔχουσι δὲ σύνδεσμον ἀλλήλοις ἕως τοῦ ἐμπροσθίου ποδὸς τοῦ Κριοῦ. ἢ οὕτως, ἀλλὰ τῶν δύο τούτων ὁ εἷς καὶ προφερέστερος (ἤτοι διαυγέστερος) καὶ βορειότερος κατὰ τὴν θέσιν, διὸ καὶ πρότερον τοῦ βορέου κατιόντος αἰσθάνεται. εἰσὶ δὲ οἱ Ἰχθύες καὶ ἐν ἀμφοτέροις τοῖς ἡμισφαιρίοις, καὶ ἔχουσι τοὺς ἅπαντας ἀστέρας μʹ.

240. ἀλλ' ὁ ἕτερος αὐτῶν, ὅς ἐστιν ἐκτὸς τοῦ ζῳδιακοῦ κύκλου πλὴν μόνης οὐρᾶς (λέγει δὲ διὰ τὸν βόρειον Ἰχθύν, ὃς καὶ τῆς Ἀνδρομέδης ἐπιψαύει) τοῦ νοτιωτέρου ἐστὶ κρείττων καὶ ἀμείνων, ὥστε τοῦ βορέου μᾶλλον πνέοντος αἰσθάνεσθαι, ὅσῳ βορειότερός ἐστι. τὸ δὲ προφερέστερος οὐχὶ τὸ πρότερος ἐλθεῖν ἐπὶ τὴν δύσιν, ὡς ὁ Ταῦρος προφερέστερος Ἡνιόχοιο (177), ἀλλὰ τὸ κρείττων ὡς ὑπὸ λαμπροτέρων ἀστέρων διατυπούμενος. ὁ δὲ Ἵππαρχος οὐχ ὡς πρὸς τὸ Δελτωτόν, ἀλλ' ὡς πρὸς τὸν Κριὸν ἐν προβολῇσι νότοιο λέγει τοὺς Ἰχθύας, ἵνα τὸν Ἄρατον εὐθύνῃ. βέλτιον δὲ καὶ ἀνυπεύθυνον ἀκούειν ἐκείνως.

242. ὁ νοῦς, ἀμφοτέρων ἐκ τῶν οὐραίων δεσμός τις ἀποτείνεται. εἰκὸς δὲ ἐγγὺς ὄντων ἀλλήλων καὶ ταῖς οὐραῖς μόνον οὐκ ἐπιψαυόντων. ἔστι δὲ πρὸς τὸν ἀριστερὸν ὦμον τῆς Ἀνδρομέδης Ἰχθὺς ἕτερος βορειότερος· νοτίων γὰρ ὄντων τῶν δύο τούτων Ἰχθύων ὁ βορειότερός ἐστι πρὸς τὴν Ἀνδρομέδαν. τοῦτον τοίνυν τὸν βορειότερον Ἰχθὺν χελιδόνος ἔχειν τὴν κεφαλήν φασιν, ὃν Χαλδαῖοι καλοῦσιν Ἰχθὺν χελιδονίαν.

244. εἷς ἀστήρ ἐστιν ἐν τῷ μέσῳ τῶν οὐραίων, ὅστις ὥσπερ συνδεῖ ἀμφοτέρους, ὃν καλοῦσιν οὐραῖον δεσμόν.

248. σφόδρα θαυμάσαι ἔστιν αὐτόν, πῶς διδασκαλίας εὐμόρφους προφάσεις ἑαυτῷ δίδωσιν. ἐπειδὴ γὰρ ὑπολείπεται αὐτῷ εἰς τὰ κατὰ Κηφέα ὁ Περσεύς, ἐπὶ τὸν Κριὸν καὶ τὸν Ἵππον καὶ τοὺς Ἰχθῦς ἐξοκείλας ἅπτεται διὰ τῶν Ἰχθύων τῆς Ἀνδρομέδας καὶ ἀπὸ ταύτης τὰ περὶ Περσέως διδάσκει. ἐπὶ τῶν ποδῶν δὲ τῆς Ἀνδρομέδας συνάψας τοὺς ὤμους τοῦ Περσέως, διὰ τούτων εὐσύνοπτον αὐτὸν τίθησι. γαμβρὸν δὲ τὸν νυμφίον κατὰ Αἰολέας. ἑλληνισμὸς δὲ τὸ σχῆμα, ἀντὶ τοῦ οἱ πόδες αὐτῆς τὸν γαμβρὸν ἐπισημαίνοιεν τὸν Περσέα. ἀεὶ δὲ οἱ πόδες ἐπὶ τῶν ὤμων αὐτοῦ φέρονται· τὸ γὰρ ἐπωμάδιοι (249) ἐπὶ τῶν ὤμων τοῦ Περσέως δηλοῖ. ἰστέον δὲ ὅτι ὁ ἀριστερὸς ὦμος τῆς Ἀνδρομέδης λαμπρός ἐστιν, ἐξ οὗ διδάσκει τὸν βόρειον Ἰχθύν. ἀλλ' ὅμως ἐν τῇ σχεδογραφίᾳ ὁ δεξιὸς αὐτῆς πλησιάζει τῷ Ἰχθύϊ, καίπερ ἐν τῇ οὐρανοθεσίᾳ ὁ ἀριστερός· ἐμπέπηγε γὰρ ἐπ' ὄψιν τῷ οὐρανῷ τὰ ζῴδια, καὶ τὰ νῶτα αὐτῶν ἡμεῖς ὁρῶμεν. ἡμεῖς δὲ τὸ ἀνάπαλιν τὰ νῶτα πρὸς τὴν

Digitized by Google

σφαῖραν γράφομεν· οὐ γὰρ δυνατὸν ἐν τῇ σφαίρᾳ οὕτως ὥσπερ ἐν οὐρανῷ γραφῆναι· οὐ γὰρ ἂν αὐτὰ ἑωρῶμεν.

250. ὁ δὲ ἐν τῷ βορείῳ ἐστὶ κύκλῳ τῶν ἄλλων μείζων κατὰ τὴν φαντασίαν, τῆς τε Κασσιεπείας καὶ αὐτοῦ τοῦ Κηφέως. πάλιν ἐν οὐρανῷ ἡ τοῦ Περσέως δεξιὰ πρὸς τὴν Κασσιεπείας καθέδραν ἐκτέταται, ἐν δὲ τῇ σχεδογραφίᾳ ἡ ἀριστερὰ διὰ τὴν εἰρημένην αἰτίαν· δεῖ γὰρ ἡμᾶς ὁρᾶν τὴν ὄψιν τοῦ ζῳδίου. διὸ ἐὰν λέγῃ δεξιὰν χεῖρα ἢ ἀριστερὰν καὶ εὕρωμεν τὸ ἀνάπαλιν ἐπὶ τῆς σφαίρας, μὴ ξενιζώμεθα· ἔνδον γὰρ ὤφειλε τὰ ζῴδια ὡς πρὸς τὴν σφαῖραν ἔχειν τὴν ὄψιν ὡς ἐν οὐρανῷ, ἀλλ' ἔξω γράφεται πρὸς τὸ καὶ ἡμᾶς αὐτὰ ἀκριβῶς ὁρᾶν. κατεστήρικται δὲ ὁ Περσεὺς ἐν τῷ οὐρανῷ διὰ τὴν δόξαν, ὅτι ἐπὶ τὰς Γοργόνας σταλεὶς ὑπὸ Πολυδέκτου τὸν ἆθλον κατώρθωσε, λαβὼν παρ' Ἡφαίστου ἅρπην καὶ παρ' Ἑρμοῦ πέδιλα. θεωρεῖται δὲ ἐν τοῖς ἄστροις τὴν Γοργόνος κατέχων κεφαλήν. τὰ δὲ ἐν τοῖς ποσὶν ἴχνη (252) ἤγουν τὰς τῶν ποδῶν βάσεις πλατύνει διὰ τὴν προειρημένην τῆς ὁδοῦ αἰτίαν, ὅτε τὰς Γοργόνας ἐδίωκε. κ ε ν ο ν ι μ έ ν ο ς οὖν (253) ἤγουν κόνιν ἐκ τῆς ὁδοῦ ἐγείρων. καὶ Ὅμηρος „κονίην πεδίοιο.“ ἢ ὅτι κενονιμέναι καὶ νεφελώδεις εἰσὶ περὶ τοὺς πόδας αὐτοῦ συστροφαὶ καὶ κονιορτώδεις, ἅτε τοῦ γαλαξίου κύκλου γειτνιῶντος. τὸ δὲ ἐν Δ ι ὶ τῷ οὐρανῷ.

254. τὸ δὲ ἀριστερὸν τοῦ Περσέως γόνυ ὀλίγον ἀνωτέρω ὀφείλει εἶναι τοῦ βορείου διχοτομήματος, ὅπου καὶ τὰς Πλειάδας εἶναι λέγομεν, βότρυος δίκην προσανακεκλιμένας. τὸ δὲ ἤ λ ι θ α ἀντὶ τοῦ ἅμα καὶ κατὰ τὸ αὐτό. οὐ γὰρ πολύς ἐστι τόπος ὃς ἐπέχει αὐτάς, ἀλλ' ὀλίγος· σφόδρα γὰρ πλησίον ἀλλήλων καὶ οὐ διεστῶσαί εἰσιν. ἢ ἤλιθα ἤγουν ἀθρόως. ἔστι δὲ παρὰ τὸ ἅλις, ὅθεν καὶ ἁλίαν οἱ Δωριεῖς τὴν ἐκκλησίαν καλοῦσι. φασὶ δὲ οἱ μῦθοι περὶ τῶν Πλειάδων ὅτι ἀπὸ Ἄτλαντος ἐγενήθησαν καὶ Πλειόνης τῆς τοῦ Ὠκεανοῦ θυγατρός. ὁ δὲ Ἄτλας, μεθ' οὗ καὶ ὁ Προμηθεὺς καὶ ὁ Ἐπιμηθεύς, ἐγενήθησαν ἐκ τοῦ Οὐρανοῦ καὶ Κλυμένης τῆς τοῦ Ὠκεανοῦ θυγατρός. γεννηθεῖσαι δὲ οὕτως ἀπὸ τοῦ Ἄτλαντος καὶ τῆς Πλειόνης ἐδιώκοντο πέντε ὅλους ἐνιαυτοὺς κατὰ Βοιωτίαν ὑπὸ τοῦ Ὠρίωνος μετὰ καὶ τῆς μητρὸς αὐτῶν συγγενέσθαι ζητοῦντος αὐταῖς· καὶ τοῖς θεοῖς εὐξάμεναι πρὸς πελειάδας ἠμείφθησαν. εἶτα οἰκτείρας αὐτὰς ὁ Ζεὺς τῆς κακοπαθείας ἐν τῷ οὐρανῷ κατηστέρισεν. ἐκ τούτου δὴ τοῦ Ἄτλαντός φασιν οἱ μῦθοι καὶ τὰς Ὑάδας γενέσθαι καὶ τὸν υἱὸν Ὕαντα, ὃν ἐν Λιβύῃ θηρῶντα ἐπειδὴ ὄφις ἀνεῖλεν, αἱ ἀδελφαὶ τῷ θρήνῳ νικηθεῖσαι ἀπώλοντο. Ζεὺς δὲ ἀστέρας αὐτὰς πεποίηκε τὰς καλουμένας Ὑάδας· ὧν καὶ Ἡσίοδος ἐν τῇ ἀστρικῇ αὐτοῦ τὰ ὀνόματα διδάσκει βίβλῳ, λέγων “Φαισύλη ἠδὲ Κορωνὶς ἐϋστέφανός τε Κλέεια Φαιώ θ' ἱμερόεσσα καὶ Εὐδώρη τανύπεπλος.“ ἀλλὰ ταῦτα μὲν τὰ μυθικά· ἀλληγορικῶς δὲ Ἄτλαντα νόησον τὸν ὁρίζοντα καὶ Πλειόνην τὸν ὠκεανόν· ἐκ τούτων γενέσθαι δοκοῦσι καὶ αἱ Πλειάδες καὶ αἱ Ὑάδες καὶ τὰ

Digitized by Google

λοιπὰ τῶν ἄςρων, ὅτι ἐξ αὐτῶν ἀνερχόμενα φαίνεται. καλȣ͂νται δὲ αἱ Πλειάδες τῷ ὀνόματι τȣ́τῳ ἀπὸ Πλειόνης τῆς αὐτῶν μητρός, ἢ ἀπὸ τȣ͂ πελειάδας γενέσθαι φευγȣ́σας τὸν Ὠρίωνα, ἢ ἀπὸ τȣ͂ εἰς πολλὰ χρησιμεύειν (σημαντικαὶ γὰρ καὶ θέρȣς καὶ σπόρȣ), ἢ ὅτι πλησίον ἀλλήλων κεῖνται παρὰ τὸ λαιὸν γόνυ τȣ͂ Περσέως, ἢ ὅτι χρήσιμοί εἰσι τοῖς πλέȣσιν. ἱςέον δὲ ὡς ἡ ἑῴα ἀνατολὴ τῶν Πλειάδων γίνεται ἀπὸ Μαΐȣ ιγʹ ἕως κγʹ τȣ͂ Ἰȣνίȣ, ἡ δὲ ἑσπερία ἀνατολὴ ἀπὸ Ὀκτωβρίȣ μέχρι Δεκεμβρίȣ ιθʹ. καλοῖντο δ᾿ ἂν ἔτι Πλειάδες καὶ ἀπὸ τȣ͂ πολεῖν ἐκ περιόδȣ καὶ συμπληρȣ͂ν τὸν ἐνιαυτόν· ἀπὸ τȣ́των γὰρ κατ᾿ ἐξοχὴν καὶ πλειὼν ἐκλήθη ὁ ἐνιαυτός. ὁμȣ͂ μὲν ȣ͂ν ὁρώμεναι λαμπραί, καθ᾿ ἕκαςα δὲ ἀμυδραί. καὶ ἔχȣσι σχῆμα τρίγωνον, ȣ̔ ἡ βάσις ἐπ᾿ ἀνατολὴν τέτραπται. Νίκανδρος μὲν ȣ͂ν ἐπὶ τῆς ȣ̓ρᾶς τȣ͂ Ταύρȣ τίθησιν αὐτάς· "αἵθ᾿ ὑπὸ Ταύρȣ ὁλκαίην ψαίρȣσαι ὀλίζωνες φορέονται." ὁ Ἵππαρχος δὲ ȣ̓κ ἐπὶ τȣ͂ Ταύρȣ (καὶ γὰρ αὐτὸς ἡμίτομον τὸν Ταῦρόν φησιν), ἀλλὰ τῷ μὲν προδὶ τȣ͂ Περσέως μᾶλλον αὐτὰς πλησιάζειν, πόῤῥω δὲ τὴν κνήμην εἶναι τȣ͂ ἀριςερȣ͂ γόνατος. πρὸς ὃ Διόδωρος μὲν ὑπογȣνίδος γράφει, ὅπως ἡ κνήμη σημαίνοιτο· Μηνόφαντος δὲ ἐπιγȣνίδα τὴν κνήμην ἀκȣ́ει διὰ τὸ εἶναι ἐπ᾿ αὐτῆς τὸ γόνυ. δύναιτο δ᾿ ἂν ἀπὸ μέρȣς ὅλον τὸ σκέλος ἀκȣ́εσθαι. παρὰ Ὁμήρῳ δὲ ἐπιγȣνὶς τὸ ἄνω τȣ͂ γόνατος, ὡς Ἀρίςαρχος, ὡς δὲ Κράτης, ἐπωμίς, ὡς δὲ Χάρης, ἡ ἐφ᾿ ὅλȣ τȣ͂ σώματος εὐσαρκία. ȣ̓ πολὺ δὲ αὐτὰς χωρίον ἐπέχειν φησίν, ἐπειδὴ κατὰ μὲν μῆκος μίαν μοῖραν ἐπέχȣσι, κατὰ δὲ πλάτος ἥμισυ καὶ ὄγδοον. ἑῴαν δὲ ἐπιτολὴν ποιȣ͂νται ἐφ᾿ ἡμέρας νβʹ τῆς ἐαρινῆς ἰσημερίας, καὶ ὁ ἥλιός ἐςι μοιρῶν ιζʹ ἐν Ταύρῳ· καὶ τὴν ἑσπερίαν δὲ ἐφ᾿ ἡμέρας τοσαύτας τῆς φθινοπωρινῆς ἰσημερίας, ἡλίȣ ὄντος ἐν Τοξότῃ. φασὶ δὲ ὅτι μία τῶν Πλειάδων ἐκεραυνώθη, καὶ διὰ τȣ͂το ȣ̓ φαίνεται.

257. ἑπτὰ δὲ ȣ̓͂σαι, φησίν, ἓξ δοξάζονται παρὰ τοῖς ἀνθρώποις διὰ τὸ ἀμυδρῶς τὴν ἑβδόμην ὁρᾶσθαι. πλὴν εἰ καὶ ζʹ ταύτας φασὶν εἶναι, ἀλλὰ τῇ ἀληθείᾳ ἓξ εἰσὶ μόναι φαινόμεναι. φασὶ δέ τινες τοιȣ͂τον μῦθον, ὅτι μία ἐκ τῶν ἑπτὰ διὰ τὸ τȣ͂ Ἰλίȣ πάθος ὑπεχώρησε τȣ͂ συςήματος καὶ ὑπὸ τὸν δεύτερον ἀςέρα τȣ͂ ῥυμȣ͂ ἧκεν, ὃς λέγεται εἶναι τῆς Ἠλέκτρας. τȣ͂τον δὲ τὸν ἀςέρα τὸν ὑπὸ τὸν ῥυμὸν τῆς Ἄρκτου ἀναχωρήσαντα ἐκ τῶν Πλειάδων Ἀλώπεκά τινες καλοῦσιν.

259. τοῦτό φησι χαριεντιζόμενος ἐπὶ τῇ μυθολογίᾳ, ὅτι ζʹ εἰσί, καὶ ȣ̓δέποτε ἀνήκȣςος ἀςὴρ ἀπόλωλεν, ȣ̓δὲ ἠκȣ́σαμεν τȣ͂το ἀφ᾿ ȣ̔ ἐγενήθημεν καὶ ἀφ᾿ ȣ̔ τὰ ἄςρα γεγένηνται, ἀπολωλότα καὶ ἀνήκȣςον γενόμενον ἀςέρα. πρὸς ȣ͂ν τȣ̀ς τὸν μῦθον εἰπόντας φησὶ τȣ͂το· ὧν ἐςι καὶ αὐτός· ἐν γὰρ τῷ εἰς Θεόπρομον ποιήματί φησι φυγεῖν τὴν Ἠλέκτραν καὶ μὴ ὑπομεῖναι ἰδεῖν τὴν Ἴλιον ἁλισκομένην καὶ τȣ̀ς ἐκγόνȣς δυστυχȣ͂ντας· τὸν γὰρ Δάρδανον παῖδα Διὸς καὶ Ἠλέκτρας εἶναι. ἔςι δὲ ὑπερβατὸν τὸ ἑπτάποροι (257 ȣ̔́τως, ἑπτάποροι ȣ̓͂σαι καὶ ἐπόψιαι

ὀφθαλμοῖσιν ἐξ οἷαι παρ' ἀνθρώποις ὑδέονται. τῶν γὰρ ζ ὀνομάτων λέγων τὸν κατάλογον, σύνδηλός ἐςι συναινῶν τῷ ἀριθμῷ τούτῳ καὶ συντιθέμενος.

264. ὀλίγας αὐτάς φησι διὰ τὸ ἐξ ἀμυδρῶν συγκεῖσθαι ἀςέρων· ὀνομαςαὶ δὲ ὅμως καὶ ἐπίδοξοι διὰ τὸ καὶ τὴν ἀνατολὴν αὐτῶν καὶ τὴν δύσιν πρὸς ἀναγκαῖον εἶναι τοῖς ἀνθρώποις· ἐπιτελλομένων γὰρ τοῦ ἀμήτου ἄρχεσθαι χρή, δυομένων δὲ τοῦ ἀρότου. ἦρι οὖν (265) τὸν ὄρθρον ἤγουν τὴν ἀνατολήν φησιν· ὑπὸ τὸν ὄρθρον γὰρ ἀνατέλλουσι σὺν ἡλίῳ ὄντι ἐν τῷ Ταύρῳ, ἀπὸ ε' καὶ εἰκάδος τοῦ Φαρμουθὶ μηνός, ὅς ἐστι παρὰ Ῥωμαίοις Ἀπρίλλιος, ὅτε καὶ τοῦ θερίζειν ὁ καιρὸς παρ' Αἰγυπτίοις, ἑσπέριαι δὲ ἀπὸ ἑσπέρας ἀνατέλλουσιν ἡλίου ὄντος ἐν Σκορπίῳ, Ἀθὺρ μηνί, ὅς ἐςι παρὰ Ῥωμαίοις Νοβέμβριος, ὅτε ἐςὶ καιρὸς τοῦ ἀροτριᾷν. τότε γὰρ ἑσπέριαί εἰσιν, ὅτε πρὸς ἑσπέραν ἀνατέλλουσι. τὸ δὲ ἑξῆς τοῦ ῥητοῦ οὕτως ἔχει· αἱ δὲ ὀνομαςαὶ ἦρι καὶ ἑσπέριαι εἱλίσσονται καὶ συμπεριφέρονται τῷ οὐρανῷ. καὶ τούτων δὲ ὁ Ζεὺς αἴτιος, ὃς κατηςέρισεν αὐτάς, ὅςις αὐτὰς καὶ θέρους ἀρχομένου καὶ χειμῶνος σημεῖα φέρειν ἐποίησε. ληπτέον οὖν, ἑῷαι Φαρμουθὶ ἀρχομένου θέρους ἀνατέλλουσιν, ἑῷαι δὲ δύνουσιν Ἀθὺρ μηνὶ ἀρχομένου χειμῶνος.

266. σημαίνουσιν αἱ Πλειάδες καιρούς· ἑῴαν γὰρ ἀνατολὴν ἀνατέλλουσαι σημαίνουσι θέρους ἀρχήν, ἑῴαν δὲ δύσιν δύνουσαι ἀντίληψιν τῶν κατὰ σπόρον ἔργων, ἑσπερίαν δὲ ἀνατολὴν ποιούμεναι χειμῶνος ἀρχήν. τῆς δὲ ἑσπερίας δύσεως οὐκ ἐμνήσθη διὰ τὸ συμβαίνειν αὐτὴν περὶ τὴν ἐαρινὴν ἰσημερίαν καὶ μηδὲν ἐξαίρετον παρέχειν σημεῖον.

268. τὰ ὑπολειπόμενα τοῦ βορείου διδάσκει, τήν τε Χέλυν καὶ τὸν Ὄρνιν. οὐκ ἀφ' ἑαυτῶν δὲ καὶ ταῦτα διδάσκει, ἀλλ' ἐκ τῶν προεγνωσμένων. χελώνην δὲ ὁ Ἑρμῆς ἐκδείρας αὐτὴν κατεσκεύασε.

λίκνον δὲ τὸ κουνίον φησί, παρὰ τὸ λίαν κινεῖσθαι, ἐν ᾧ τὰ νήπια κατετίθεσαν. ἢ λίκνον τὸ λικμητήριόν φησι· τὰ γὰρ βρέφη τὸ πρῶτον γεννώμενα ἐν τῷ λικμητηρίῳ ἐτίθεσαν εἰς σύμβολον εὐτροφίας· Δήμητρος γὰρ καρποῦ τὸ ἐργαλεῖον. σφόδρα γοῦν νήπιος ὁ Ἑρμῆς τὴν λύραν κατεσκεύασε· τριταῖον γὰρ αὐτὸν ἀπὸ τοῦ τόκου ταύτην κατεσκευακέναι φασίν. ὡς γὰρ ἑάλω κεκλοφὼς τὰς Ἀπόλλωνος βοῦς, ἐπὶ ποινῇ τῆς κλοπῆς ἐδωρήσατο αὐτῷ τὴν λύραν κατασκευάσας, ἣν φασι κατηςερίσθαι.

269. αὐτός, φησί, καὶ τὴν ὀνομασίαν δέδωκε τῷ ὀργάνῳ, κατασκευάσας αὐτήν. ἑπτάχορδος δὲ ἦν αὕτη, ἣν Ἑρμῆς κατ' ἀριθμὸν τῶν πλανητῶν ἐκ χελώνης κατασκευάσας Ἀπόλλωνι δέδωκεν· ὁ δὲ Ὀρφεῖ παρέδωκεν, ὃς ἐννεάχορδον ἐποίησεν αὐτὴν ἀπὸ τοῦ τῶν Μουσῶν ἀριθμοῦ, καὶ μετὰ θάνατον αὐτοῦ τὴν λύραν ἔδωκε Μουσαίῳ, οὗ ἀξιώσαντος ὁ Ζεὺς αὐτὴν κατηςέρισεν, ὅπως αὐτοῦ μνημόσυνον ᾖ ἐν τοῖς ἄςροις. τὸ δὲ ἢ τ' ὀλίγη (268) ἀντὶ τοῦ ὀλίγων ἀςέρων, κατὰ μὲν Ἵππαρχον ι', κατὰ δὲ Τιμοχάρην η'. ἢ ὅτι ὀλίγας ἐπέχει μοίρας. ἀπευθέος δὲ (270) τοῦ Ἐγγόνασιν, ἐπεὶ οἱ μὲν Ἡρακλέα, ἄλλοι δὲ Ἰξίονα λέγουσι. τὸ δ'

ἐπὶ σκελέεσσι πέτηλον (271) ἢ τὸ τοῦ Ἐγγόνασι πέτηλον, τουτέστι τὸ εἴδωλον τοῦ Ἐγγόνασιν ἐπὶ τοῖς σκέλεσι πίπτει· ἢ τὸ πέτηλον τῆς Χέλυος ἐν τῷ ἀριστερῷ γόνατι τοῦ ἐπὶ σκελέεσσιν ἤγουν τοῦ Ἐγγόνασι κεῖται πέτηλον δὲ ἢ τὸ ἀναπεπτασμένον ἢ τὸ ἀναπεπτωκός. ἡ Λύρα ἣν δοκεῖ Ἑρμοῦ ἔργον εἶναι· κεῖται δὲ πρὸ τοῦ Ἐγγόνασι περὶ τὸ ἀριστερὸν αὐτοῦ γόνυ.

272. τῆς δὲ κεφαλῆς τοῦ Ἐγγόνασι πλησίον ἐστὶν ὄρνις Κύκνος, οὗ μεταξὺ καὶ τοῦ γόνατος τοῦ Ἐγγόνασι κεῖται ἡ Λύρα. ἐπειδὴ δὲ ἀμυδρά ἐστιν ἡ λύρα καὶ ἡ Χέλυς, ὡς εἴπομεν, διὰ πολλῶν εὐκατάληπτον αὐτὴν πειρᾶται δεικνύναι, καί φησιν ἡ δὲ μεταξὺ τῆς τοῦ Ὄρνιθος κεφαλῆς καὶ τοῦ γόνατος τοῦ εἰδώλου κεῖται, ὥστε ἴσον ἀπέχειν διάστημα τὴν Λύραν τοῦ τε γόνατος καὶ τῆς τοῦ Ὄρνιθος κεφαλῆς· τούτου γὰρ σημεῖον τὸ μεσηγύ (273).

275. Ζηνὶ τῷ οὐρανῷ λέγει. τὸ δὲ παρατρέχει, ἢ ὅτι τὰς πτέρυγας ἁπλώσας ἔμφασιν δρόμου καὶ πτήσεως ἐμφαίνει, ἢ ὅτι τῷ οὐρανῷ συμπεριφέρεται. οὐκ ἀπεικὸς δὲ ὡς μουσικὸν ὄντα τὸν Ὄρνιν πλησίον εἶναι τῆς Λύρας.

τοῦτον τὸν Ὄρνιν οἱ μὲν λέγουσιν ἄντα κύκνον καταστερισθῆναι εἰς τιμὴν τοῦ Ἀπόλλωνος ἅτε μουσικὸν ὄντα· οἱ δὲ ὅτι Ζεὺς εἰκασθεὶς κύκνῳ κατὰ μὲν τοὺς πολλοὺς ὡμίλησε Νεμέσει, κατὰ δὲ ἐνίους Λήδᾳ, ἐκ δὲ τῆς Λήδας τὴν Ἑλένην γενέσθαι καὶ τοὺς Διοσκούρους ἐν ᾠῷ λέγουσι. τὸ δὲ αἰόλος, ἐπεὶ τὰ μὲν αὐτοῦ ἀνάστερα, τὰ δὲ κατηστέρωται.

276. ἀλλ' ὁ μὲν Κύκνος ἀμυδρός, περὶ δὲ τὰ πτερὰ αὐτοῦ τετράχυνται, ἢ ὅτι πολλοὶ ἀστέρες τὰς ἁπλώσεις τῶν πτερῶν ἀποτελοῦσι, διὸ καὶ τετρήχυνται· ἢ ὅτι τοῦ πτεροῦ ἐπιψαύει ὁ γαλαξίας κύκλος, διὸ ὥσπερ τραχὺ τοῦτο ἀποτελεῖ· ὃ δὴ καὶ ἐπὶ τοῦ Περσέως ἐλέγομεν. τὸ δὲ οὐ μὲν ἀφαυροῖς (277) ἀντὶ τοῦ οὐ λαμπροῖς μέν, οὐ παντελῶς δὲ ἀφανέσιν.

279. εἰς ἑτέρην: ἐπὶ τὴν δύσιν ὡς πρὸς ἀντιδιαστολὴν τῆς ἀνατολῆς. τὸ δὲ φέρεται ὡς πρὸς τὴν τῆς πτήσεως ἔμφασιν, διὰ τὸ ἡπλῶσθαι τὰς πτέρυγας· ἢ συμπεριφέρεται τῷ οὐρανῷ. φέρεται δὲ ὁ Κύκνος κατὰ τὰ δεξιὰ τῆς Κηφείας χειρός· τὰ γὰρ δεξιὰ τῆς πτέρυγος, ὃ δηλοῖ τὸ ταρσοῦ (280), παράκειται τῇ τοῦ Κηφέως δεξιᾷ. ὁ δεξιὸς οὖν ταρσὸς τοῦ Κύκνου, τουτέστιν ἡ πτέρυξ. ὁ δὲ ἀκαρθμὸς (281) σημαίνει τὸν πόδα περισκαίρειν, πλεονασμῷ τοῦ θ.

282. σφόδρα πάλιν καθαρὰν δέδωκεν ἑαυτῷ πρόφασιν ὥστε ἐλθεῖν ἐπὶ Περσέα καὶ Χέλυν καὶ Ὄρνιν καὶ ἀπὸ τοῦ Ἵππου πάλιν ἐπὶ τοὺς ὑποκειμένους Ἰχθύας, εἶτα ἀπὸ τῶν ἐγνωσμένων Ἰχθύων καὶ τοῦ Ἵππου ἐπάγει πὰρ δ' ἄρα οἱ κεφαλῇ (283) ἤγουν παρὰ δὲ τῇ κεφαλῇ τοῦ Ἵππου ἡ τοῦ Ὑδροχόου χείρ. Ὑδροχόος δὲ οὗτος δοκεῖ κεκλῆσθαι ἀπὸ τῆς πράξεως· ἔχων γὰρ ἔστηκεν οἰνοχόην καὶ ἔκχυσιν πολλὴν ποιεῖται ὑγροῦ, ἥτις εἰκάζεται τῷ νέκταρι τοῦ Γανυμήδους· τὸν Γανυμήδην γὰρ αὐτὸν

Digitized by Google

ἔφασαν οἱ περὶ Πίνδαρον ἑκατοντόργυιον ἀνδριάντα, ἀφ᾽ ὃ τῆς κινήσεως τῶν ποδῶν τὸν Νεῖλον πλημμυρεῖν.

ὁ δὲ Αἰγόκερως (284) ὅμοιός ἐςι τῇ Αἰγί. κατηςερίσθη δὲ εἰς τιμὴν τῦ Πανός· εἰς γὰρ τῦτον μετεβλήθη διωκόμενος μετὰ τῶν ἄλλων θεῶν· ἢ ὅτι σύντροφός ἐςι τῦ Διός. εὗρε δὲ ὗτος τὸν κόχλακα ἐν τῇ θαλάσσῃ· διὸ παράσημον ὀρὰν Ἰχθύος ἔχει. τῷ δὲ ἤχῳ αὐτῦ, Πανικῷ καλυμένῳ, τὺς Τιτᾶνας ἐτρέψατο. ὁ ὖν Αἰγόκερως πρῶτός ἐςι τοῦ Ὑδροχόου τῇ θέσει· διὸ καὶ πρότερον αὐτοῦ ἀνατέλλει. τὸ δὲ νειόθι (285) κατωτέρω. ἢ πρῶτός ἐςιν, ἐπειδὴ πρὸς νότον ἐςίν, ὅπυ συμβαίνει τὰς χειμερινὰς τροπὰς γίνεσθαι· ἐντεῦθεν δὲ ἐπὶ τὰ βόρεια εἰς εὐδίαν ἐκ τῦ χειμῶνος ἀνατρέχει.

286. πολλάκις, ὡς εἴπομεν, ὐ μόνον ἕνεκα τῆς γνώσεως τῶν φαινομένων γράφει ὁ Ἄρατος, ἀλλὰ διὰ τύτων καὶ βιωφελεῖς εἰσάγει καιρὺς τοῖς ἀνθρώποις. καὶ νῦν τὸν χειμερινὸν καιρὸν διαγράφων φησὶν ἀρχὴ χειμῶνος, ὅταν ἐν τῷ Αἰγοκέρωτι γένηται ὁ ἥλιος. ἐπάγει οὐκ ὅτι μὴ κατ᾽ ἐκεῖνον τὸν καιρὸν πλεύσῃς. λέγει δὲ τὸν Τυβί, ὅς ἐςι κατὰ Ῥωμαίους Ἰανυάριος· τότε γὰρ σφοδρός ἐςιν ὁ χειμών. τὸ δὲ ὑπὸ τῆς θαλάσσης περικλύζοιο (288) πλέων δηλαδὴ καὶ ναυτιλλόμενος καὶ ἐν ἀναπεπταμένῳ πελάγει τὸν πλῦν ποιύμενος· ὗτε γὰρ πολλὴν θάλασσαν δυνατὸς εἶ διαπερᾶσαι διὰ μιᾶς ἡμέρας· μικρὰ γὰρ τὸ τηνικαῦτα ἡ ἡμέρα· ὗτε ἐν νυκτί σοι φόβον καὶ κίνδυνον ἐκ τοῦ χειμῶνος ἔχοντι μετ᾽ ὀλίγον ἂν ἐπέλθοι ἡ ἡμέρα· μακρόταται γὰρ αἱ νύκτες· "μακραὶ γὰρ ἐπίῤῥοθοι εὐφρόναι εἰσί." ταχέως δὲ τὴν ἑσπέραν προσδόκα, βραδέως δὲ τὴν ἠῶ. διὸ τὴν διὰ νυκτὸς δυσχίαν μεγάλην ἡγητέον, ὡς καὶ ὁ ποιητὴς "ἐκ νυκτῶν ἄνεμοι χαλεποί, δηλήματα νηῶν." τὸ ὖν ταχινώταται (289) αἱ ἡμέραι δηλονότι. τὸ δὲ πολλὰ βοωμένῳ (291) σφόδρα ἐπικαλυμένῳ, ὥςε ἐλθεῖν τὴν ἡμέραν, διὰ τὸν παρόντα κίνδυνον. μὴ δὴ τῇ νυκτὶ πίςευε· μακρὰ γάρ, βραδέως δὲ ἡ ἡμέρα ἐπιφαίνεται. τὸ δὲ ναύτῃ μαλκιόωντι (294) ναρκῶντι τῷ ναύτῃ. μάλκη δέ ἐςιν ἡ ἐκ ψύχυς χειρῶν καὶ ποδῶν ἐπανάςασις, ἃ δὴ καὶ χίμετλα λέγονται. ἢ μαλκιόωντι τῷ εἰωθότι ἐν ψυχροῖς τόποις καὶ ὑγροῖς διάγειν. τινὲς δὲ μαλκιόωντι τῷ ἐντὸς ἔχοντι τὰς χεῖρας ὥρισαν.

294. ἀλλὰ καὶ ἔμπης· τῦτο ὡς πρὸς τὺς ἑτοίμυς ἀνθρώπους διὰ χρήματα ἀποκινδυνεύειν καὶ μηδὲ τὸν τοιῦτον καιρὸν παραιτεῖσθαι. ὁ δὲ λόγος, ἀλλ᾽ ὅμως, φησίν, εἰ καὶ τὰ τοιαῦτα κακά ἐςι τοῖς πλέυσι κατὰ θάλασσαν καὶ τοσοῦτοι κίνδυνοι ἐπήρτηνται, ἐςμός τις αὐτῶν ἐν χειμῶνι πλέει. τὸ δὲ ἤδη πάντ᾽ ἐνιαυτόν (295) ἀντὶ τῦ πάντοτε, ἐν παντὶ καιρῷ τῦ ἐνιαυτῦ ἡ θάλασσα διαπερᾶται. ςείρῃσι δὲ ναυσί. πορφύρει (296) μελαίνεται, κινεῖται ὑπὸ τῶν νηῶν. ἡ δὲ αἴθυια ἐν τοῖς παραλίοις τόποις ζῇ. ὁμοίυς ὖν ταῖς αἰθυίαις φησὶ τὺς δίκην αἰ-

Digitized by Google

θυιῶν ἐν τῇ θαλάσσῃ διὰ παντὸς διάγοντας. καὶ Καλλίμαχος "ἀλλ' ἐμὸς αἰὼν κύμασιν αἰθυίης μᾶλλον ἐσφκίσατο."

297. ἐπὶ ταῖς χειμαζομέναις πολλάκις ναυσὶν ἥμεθα, πρὸς τὸ πέλαγος βλέποντες καὶ περισκοποῦντες τοὺς αἰγιαλούς, εὐχόμενοι λιμένος τυχεῖν.

298. πόρσω κλύζονται: ἤγουν πόῤῥω εἰσὶν οἱ αἰγιαλοί. ὀλίγον δὲ διὰ ξύλον (299) ἀντὶ τοῦ ὀλίγον ξύλον καὶ εὐτελὲς διείργει τὸν θάνατον, ἤγουν ἡ ναῦς. καὶ Ἡσίοδος "χρήματα δὲ ψυχὴ πέλεται δειλοῖσι βροτοῖσιν."

300. ἐπὶ προτέρῳ: ἀπὸ κοινοῦ τῷ μηνί. πρότερος δὲ μὴν τοῦ Αἰγοκέρωτος ὁ Χοιάχ, ὅς ἐστι Δεκέμβριος, ὅτε ἐν τῷ Τοξότῃ ὁ ἥλιος. ὁ δὲ νοῦς, καὶ ἐν τῷ προτέρῳ μηνὶ τοῦ Τυβὶ ἤγουν τοῦ Ἰανουαρίου (λέγει δὲ διὰ τὸν Δεκέμβριον μῆνα· οὗτος γάρ ἐστιν ὁ πρὸ τοῦ Ἰανουαρίου) πολλὰ παθὼν κατὰ θάλασσαν πρὸς τὴν ἑσπέραν ὁρμίζου· μακραὶ γάρ εἰσι τότε αἱ νύκτες, καὶ οὐκ ἔστιν εὐχερὲς τότε διαπεραιοῦσθαι.

303. ἐπειδὴ ἐν τῷ Τοξότῃ ὢν ὁ ἥλιος οὐκ ἐᾷ αὐτὸν φαίνεσθαι, ἐξ ἄλλων τεκμηρίων τοῦ μηνός σοι δίδωσι κατάληψιν. ὁ δὲ νοῦς, τεκμήριόν σοι ἔστω τοῦ καιροῦ καὶ τοῦ μηνὸς ἐκείνου ὁ Σκορπίος ἀνατέλλων ἐπὶ τῆς ἐσχάτης νυκτὸς ἤγουν ἐπὶ ὄρθρου· περὶ γὰρ ἑνδεκάτην καὶ δωδεκάτην ὥραν ὁ Σκορπίος ἀνατέλλει. αὐτὸς γὰρ ὁ Τοξότης ὑπὸ τοῦ ἡλίου τότε κατέχεται, ὁ δὲ Σκορπίος μικρὸν πρὸ τῆς τοῦ ἡλίου ἀνατολῆς θεωρεῖται ἐπὶ τῆς ἀνατολῆς τοῦ ὁρίζοντος· τότε γὰρ συμβαίνει τὸ κέντρον τοῦ Σκορπίου ἀνατέλλον θεωρεῖσθαι καὶ τὴν τοῦ Τοξότου κορωνίδα συνάπτουσαν τῷ κέντρῳ.

308. ἐπειδὴ συμβαίνει τὸ τηνικαῦτα χειμῶνος ὄντος συστάσεις νεφελώδεις γίνεσθαι καὶ τὸν Σκορπίον μὴ εἶναι ἐμφανῆ, πειρᾶται καὶ ἐξ ἄλλων φανερὰν ποιῆσαι τὴν τοῦ μηνὸς κατάληψιν. τῆμος —: ἤγουν τότε καὶ ἡ κεφαλὴ τῆς Κυνοσούριδος εἰς ὕψος ἀνατέλλει. ἡ γὰρ κεφαλὴ τῆς Κυνοσούριδος ἐπὶ τὴν ἰξὺν τῆς μεγάλης Ἄρκτου ἐν τῷ ἀνατρέχειν ἀποβλέπει. εἶτα καὶ ἕτερον τεκμήριον δίδωσι, καὶ φησὶν (309) ὅτι ὁ Ὠρίων τὸ τηνικαῦτα ἀθρόως πᾶς καταδύεται πρὸ τῆς ἡμέρας· ὀλίγον γὰρ πρὸ τῆς ἡμέρας δύεται, δωδεκάτην ὥραν τῆς νυκτός. ἔστι δὲ Ὠρίων λαμπρότατος ἀστὴρ νότιος. καὶ ὁ Κηφεύς, φησίν (310), ἀπὸ χειρὸς ἐπ' ἰξύν· τὰ γὰρ λοιπὰ μέρη αὐτοῦ ἄδυτα. πλείω δὲ ἐξεπίτηδες τὰ σημεῖα τοῦ χρόνου τίθεται, ὥστε κἂν εἰ μὴ πάντα τις δύναιτο, ἀλλ' οὖν ἑνί γε ἐξ αὐτῶν πιστεύσας σώζεται.

311. προειπὼν οὖν περὶ τοῦ Τοξότου φησίν, ἔστι δὲ καὶ ἕτερος οἰστὸς περὶ τὴν ὑπὸ τοῦ Τοξότου προσβολὴν ἡτοιμασμένος. τὰ περὶ τοῦ παρακειμένου δὲ οἰστοῦ καὶ τοῦ ἀετοῦ οὐκ ἀπό τινος διδάσκει προεγνωσμένου, κατὰ τοῦτο δὲ μόνον τὴν συνήθειαν παρέλειψεν.

Digitized by Google

μικρὸν δ' ἔμπροσθεν τοῦ Τοξότου βέλος κατηστέρισται· δίχα τόξου· πλησίον δὲ αὐτοῦ θεωρεῖται Ὄρνις, βορειοτέραν ἔχων τὴν θέσιν.

312. τὸ δὲ αὐτὸς ἀντὶ τοῦ μόνος, ὡς τὸ "Τυδείδης δ' αὐτός περ ἐὼν προμάχοισιν ἐμίχθη."

313. παράκειται δὲ αὐτῷ ὄρνις ἕτερος ἐκ τοῦ σύνεγγυς, τῷ μὲν μεγέθει λειπόμενος ἐκείνου, χειμεριώτατος δὲ γινόμενος κατὰ τὴν ἑῴαν αὐτοῦ ἀνατολήν· καλεῖται δὲ Ἀετός.

314. τὴν ἑῴαν δὲ ἀνατολὴν ποιούμενος ὁ Ἀετὸς μέγαν χειμῶνα συνάγει, τοῦ ἡλίου ὄντος τότε περὶ τὰ μέσα τοῦ Τοξότου, ὅτε λοιπὸν ἀνατέλλοντος ἡλίου σὺν τῷ Τοξότῃ καὶ αὐτὸς ἀνατέλλει σὺν αὐτοῖς. ὁ δὲ λόγος, χαλεπὸς οὗτος καὶ δεινὸς ἀνατείλας παριούσης τῆς νυκτός· ἕως γὰρ ἀνατέλλει σὺν τῷ Τοξότῃ ἐν τῷ Χοιὰχ μηνὶ ἤγουν τῷ Δεκεμβρίῳ, χειμῶνός ἐστι σημεῖον· διὸ εἶπε, τοῖς πλέουσι χαλεπός, διὰ τὸ τότε κρύος. ὃν καλοῦσιν Ἀετὸν ἐτυμολογοῦντες παρὰ τοὺς ἀήτας καὶ τὰ χειμερινὰ πνεύματα, ἃ δηλοῖ χειμερινὸς ἀνατείλας.

316. πάλιν τὸν Δελφῖνα ἀπὸ τοῦ ἐγνωσμένου διδάσκει Αἰγοκέρωτος· οὐ γὰρ σφόδρα, φησίν, ἔκλαμπρος. ἐπιφέρει οὖν μεσσόθεν ἠερόεις (317), ὅτι τὸ μέσον αὐτοῦ σφόδρα σκοτεινόν ἐστιν. ἐπικαταφέρεται οὖν τῷ Αἰγοκέρωτι ὁ Δελφίς, ἐνάστερος τὰ πολλά, τέσσαρας ἔχων ἀστέρας ἐπισήμους τῷ κεῖσθαι παραλλήλους. φησὶν οὖν τὰ δέ οἱ περὶ τέσσαρα κεῖται γλήνεα. ἔοικε δὲ ῥομβοειδὲς ἔχειν τὸ σχῆμα. ποιητικῶς δὲ εἶπε τοὺς ἀστέρας γλήνεα· γλήνη γάρ ἐστιν ἡ ἐν τῷ ὀφθαλμῷ κόρη. κατηστέρισται δὲ εἰς τιμὴν τοῦ Ποσειδῶνος· ἐρασθέντος γὰρ αὐτοῦ τῆς Ἀμφιτρίτης συνήργησε τῷ γάμῳ. Ἕρμιππος δέ φησιν ὅτι ἐπὶ Ἀπόλλωνος τιμῇ ἡγήσατο Κρησὶν εἰς Δελφούς· ἔνιοι δὲ τὸν κομίσαντα Ἀρίονα τὸν κιθαρῳδὸν εἰς γῆν. μέχρι δὲ τούτου τὰ περὶ τῶν βορείων ἀστέρων· μέτεισι δὲ ἐντεῦθεν ἐπὶ τὰ νότια.

319. ἐπλήρωσε πάντα τὰ ἐν τῷ βορείῳ μέχρι τοῦ ζῳδιακοῦ κύκλου καὶ αὐτὰ τὰ δώδεκα ζῴδια, καὶ φησί, ταῦτα πάντα τὰ προειρημένα μεταξύ ἐστι τοῦ βορείου καὶ τῆς τοῦ ἡλίου πορείας, ἵνα λέγῃ μέσον βορείου καὶ τοῦ ζῳδιακοῦ κύκλου. ἀλήσιος δέ, ὅτι καὶ ὁ ἥλιος εἷς τῶν πλανητῶν ἐστί· τὰ μέντοι φαινόμενα ἀπλανῆ.

320. τὰ δὲ νειόθι ἤγουν τὰ νότια· κάτω γὰρ ἐκεῖνα ὡς πρὸς τὸ ἔγκλιμα τοῦ κόσμου, ὥσπερ ἄνω τὰ βόρεια διὰ τὸ ἔξαρμα. ὁ δὲ νοῦς, τὰ δ' ἄλλα ἄστρα κάτω τέλλεται, καὶ ἔστι μεταξὺ τοῦ τε νότου καὶ τοῦ ζῳδιακοῦ κύκλου, καὶ ἄλλα ἐν ἄλλοις τόποις κέχυται· τὰ δὲ ὑπὸ ταῦτα λέγεται φέρεσθαι μεταξὺ νότου καὶ τῆς τοῦ ἡλίου κελεύθου.

322. περὶ τοῦ Ὠρίωνος νῦν λέγει· πάντα γὰρ τὰ ἐν τῷ βορείῳ καὶ τὰ ἐξ ἐκείνων διδάξας ιβ' ζῴδια ἔρχεται ἐπὶ τὰ νότια, καὶ πάντων τῶν ἐν αὐτῷ διδασκαλίαν ποιούμενος ἀπὸ τοῦ ἐπισημοτάτου καὶ λαμπροτάτου ὑπὲρ πάντα τὰ νότια ἤρξατο, ὅτι καὶ τῆς Ὁμη-

Digitized by Google

ρικῆς χρήσεως ἔτυχεν· ἐν βραχεῖ γὰρ ὁ ποιητὴς ἀπὸ δύο ζῳδίων ἐπισήμων τά τε νότια καὶ τὰ βόρεια ἐδήλωσε, καὶ ὅτι ὥσπερ εὐθεῖά τίς ἐςὶν ἀπὸ τῆς ὄψεως τῆς Ἄρκτου μέχρις Ὠρίωνος, ἀςρονομικῶς εἰπὼν "ἥτ' αὐτοῦ ςρέφεται καί τ' Ὠρίωνα δοκεύει." εἰκότως οὖν ἐν τοῖς βορείοις ἐκείνης πρῶτον μνήμην ποιησάμενος νῦν ἐν τοῖς νοτίοις τοῦ ἀντικειμένου μνημονεύει, ἐπεὶ τὴν διὰ τῶν πόλων περιφέρειαν τέμνων φωρᾶται. ἐν ἀμφοτέροις δὲ κείμενος τοῖς ἡμισφαιρίοις ἐπέχει μοιρῶν κατὰ μῆκος ιζ, κατὰ δὲ πλάτος λ'. μέμφοιτο δ' ἄν τις Ἀράτῳ ὡς μὴ ἀκριβῶς προσέχοντι τῇ Ὠρίωνος θέσει· οὐ γὰρ ὑπὸ τὸ διχοτόμημα τοῦ Ταύρου ἐςίν, ἀλλ' ἔτι τοῦ Ταύρου ἀνατολικώτερός ἐςιν. ἆρ' οὖν ἐν πᾶσι τὴν ἀκρίβειαν ἐνδειξάμενος κατὰ τοῦτο μόνον ἐσφάλη; οὐδαμῶς, ἀλλὰ λέγομεν ὅτι νῦν τομὴν λέγει τὴν περιγραφὴν καὶ τὸ διαμεμετρημένον χωρίον, ὑφ' ὃ τμῆμά ἐςιν ὁ Ὠρίων. ὁ γὰρ πᾶς ζῳδιακὸς κύκλος δώδεκα τομαῖς διαιρεῖται, αἷς διείργεται ἐκάςου ἕκαςον ζῴδιον· τομὴν οὖν λέγει τὸ διαχωρίζον ἕκαςον μέρος τῶν ζῳδίων· ὑπὸ τοιοῦτον γὰρ τμῆμά ἐςιν ὁ Ὠρίων. τοῦτον δὲ Ἡσίοδός φησι Βρύλλης τῆς Μίνωος καὶ Ποσειδῶνος εἶναι, δωρεὰν δὲ ἔχειν παρὰ τοῦ πατρὸς ἐπὶ τῶν κυμάτων πορεύεσθαι, ἐλθόντα δὲ ἐς Χίον Μερόπην τὴν Οἰνοπίωνος βιάσασθαι οἰνωθέντα· τὸν δὲ Οἰνοπίωνα χαλεπαίνοντα ἐκτυφλῶσαι αὐτόν· ἐλθόντα δὲ εἰς Λῆμνον ἀλητεύοντα Ἡφαίςῳ συμμῖξαι, ὃς αὐτὸν ἐλεήσας δίδωσιν αὐτῷ ποδηγέτην Κυδαλίωνα, ὃν λαβὼν ἐπὶ τῶν ὤμων ἔφερε τὰς ὁδοὺς αὐτῷ σημαίνοντα. ἐλθὼν δὲ εἰς ἀνατολὰς καὶ ἡλίῳ συμμίξας ὑγιάσθη, καὶ οὕτως ἐπὶ τὸν Οἰνοπίωνα ἦλθε τιμωρήσασθαι μέλλων· ὁ δὲ μαθὼν ὑπὸ γῆν ἐκρύβη. ἀπελπίσας δὲ αὐτὸν εὑρεῖν εἰς Κρήτην ἦλθε καὶ τῇ Ἀρτέμιδι σύνθηρος ἦν. ἐπιχειρήσας οὖν καὶ ταύτην βιάσασθαι ὑπὸ σκορπίου πληγεὶς ἐτελεύτησεν.

ἐπικέκλιται δὲ διότι συνεγγίζει μᾶλλον τοῖς βορείοις. ἔχει γὰρ τὴν ζώνην κατὰ τὸν ἰσημερινόν, καὶ τῇ δεξιᾷ καλαύροπα λαβὼν ἐφάπτεται τοῦ ζῳδιακοῦ, ἐπὶ δὲ τῇ ἀριςερᾷ ἔχει δορὰν ἀνάςερον. το δὲ ὑπακέκλιται ἀντὶ τοῦ οὐκ ἐξωρθωμένος ἐςίν, ἀλλὰ σχῆμα ἔχων κυνηγετικὸν καὶ ὥσπερ ἐπισπεύδων κυνηγετεῖν, ὡς συντρέχειν τῇ ἱςορίᾳ καὶ τὸν καταςερισμόν· ἔχει γὰρ τὴν δεξιὰν ὥσπερ ῥόπαλον φέρουσαν, καὶ ἐπιβλέπει, διὰ τοῦ νεύματος σπουδὴν ἐνδεικνύμενος.

325. ὁ ἀναβλέψας, φησίν, ἐν καθαρᾷ καὶ πανσελήνῳ νυκτὶ εἰς τὸν οὐρανὸν οὐκ ἂν εὕροι ἄλλο λαμπρότερον Ὠρίωνος ἄςρον. τοῦτο εἶπεν, ἐπειδὴ μεσουρανοῦντος Ὠρίωνος τὰ λαμπρότατα τῶν ἄςρων ὑπὲρ γῆν ὁρᾶται, Ταῦρος, Ἡνίοχος, Δίδυμοι, Κασσιέπεια· τὸ γὰρ ὕψου πεπτηῶτα (324) μεσουρανοῦντα σημαίνει. τὸ δὲ παρέρχεται τοιοῦτόν ἐςιν, ὅςις αὐτὸν παρέρχεται, μὴ νομίσῃ ἄλλα αὐτοῦ κρείττω θεάσασθαι. ἐν οὐρανῷ σφόδρα ἐςὶν ἐκτεταμένος ὁ Ὠρίων, ὃς καὶ ζῶν ἐκτράπελος εἶναι ἐλέγετο. λέγει γὰρ ὁ ποιητὴς "ἐννέωροι γάρ τοίγε καὶ ἐννέα-

πήχεες ἦσαν, ἀτὰρ μῆκος ἐννεόργυιοι·" ὕςερον δὲ ἀποφαίνεται ἐλάττυς Ὠρίωνος, ἐν οἷς φησὶ "μετά γε κλυτὸν Ὠρίωνα." ἔχει δὲ σφόδρα λαμπρὺς ἀςέρας, καὶ μάλιςα μὲν τὺς τὸ ζῶμα ἀποτελῦντας· ἑτέρυς δὲ τὺς ἱμάντα καὶ ξίφος μιμυμένυς, καὶ δύο τὺς ἐπ᾽ ἄκρων ποδῶν καὶ ἕνα τὸν ἐπὶ κεφαλῆς.

327. κάτω τῦ Ὠρίωνος νοτιώτερός ἐςιν ὁ Κύων ὁ Σείριος καλύμενος, ὃν Ὠρίωνος κύνα λέγουσι κατ᾽ ἐπίκλησιν, ὥς φησιν Ὅμηρος "ὅντε κύν᾽ Ὠρίωνος ἐπίκλησιν καλέυσι." τὸ δὲ φρυρός (326), ὅτι κυνηγῷ ὄντι Ὠρίωνι συνηκολούθει ὁ Κύων καὶ ἦν αὐτῦ φύλαξ. τὸ δὲ ποσσὶν ἀμφοτέροισιν (327) ἤτοι τοῖς ὀπισθίοις (ἐπ᾽ αὐτῶν γὰρ βεβηκώς ἐςιν) ἢ ἀμφοτέροισι τοῖς ἐμπροσθίοις, ὃ καὶ μᾶλλον· τὰ γὰρ σφυρὰ αὐτῦ τῶν ποδῶν τῶν ὀπισθίων, ἐφ᾽ ὧν βέβηκεν, ἀφανῆ ἡμῖν καὶ οὐ πάνυ εὐσύνοπτά εἰσι. διὰ τῦτο ἀμφοτέροις λέγει τοῖς ἐμπροσθίοις, καὶ δίδωσι πρόδηλον μᾶλλον τὴν κατάληψιν. νοείσθω τοίνυν τὸ βεβηκώς οἷον ὁρμῶν καὶ ἀνατέλλων τοῖς ἐμπροσθίοις ποσί· μετὰ γὰρ τῆς κεφαλῆς οἱ πόδες ἀνατέλλυσιν οἱ ἐμπρόσθιοι.

328. τὸ ποικίλος πρόσκειται, ὅτι ποικιλίαν ἀςέρων ἔςιν ἰδεῖν· ἔχει γὰρ καὶ ἀμυδρὺς καὶ λαμπρὺς ἀςέρας παραλλήλυς· ὕτω γὰρ ποικιλία λέγεται. τὸ δὲ παραλλήλυς εἴπομεν, ὅτι ὐ δεῖ εἶναι μόνους λαμπρὺς ὐδὲ τὸ ἀνάπαλιν, ἀλλὰ δεῖ κρᾶσιν εἶναί τινα. ἔςιν ὖν ὁ Κύων πεποικιλμένος· ἐξ ὧν καὶ αὐτὸς ἐπιφέρει ἀλλ᾽ οὐ πάντα πεφασμένος· ὐ γὰρ ἐκ μόνων συγκείμενος λαμπρῶν ἀςέρων, ἀλλ᾽ ἔχων καὶ τινας ἀμυδρύς· εἰκότως ὖν ποικίλος ἐςίν. ἢ ποικίλος διὰ τὸν ἐπ᾽ ἄκρας αὐτῦ τῆς γένυος ἀςέρα, ὃς ἰδίᾳ Σείριος καλεῖται, παρ᾽ ὅσον σέσηρεν αὐτῦ τὸ φῶς καὶ ἔςι πορφυρίζον ἐκ τῦ παλμῦ τῆς λαμπηδόνος. κατὰ τῦτο ὖν ποικίλος, κατὰ τὰς ἀςερομαρμαρυγὰς τὰς ὥσπερ πορφυριζύσας· ὐ γὰρ οἱ τὴν γαςέρα ἀποτελῦντες ἀςέρες σφόδρα λαμπροί.

330. ὅςις (ὗτος ὁ ἀςὴρ ὁ παρακείμενος αὐτῦ τῇ γένυϊ) ὀξέα καὶ σφόδρα ςιλβόντως τὸ φῶς ἀποπέμπει. σειριάει οὖν (331) ἀντὶ τοῦ τὸ φῶς ἀφίησι σεσηρότως. ὐ γὰρ ἐν ἑαυτῷ πεπυκνωμένην ἔχει ὁ ἀςὴρ τὴν λαμπηδόνα, ἀλλὰ διακεχάσκυσαν καὶ ὡς ἐν παλμῷ ὖσαν.

332. συνανατέλλει τῷ ἡλίῳ ὁ Σείριος, ὅτε γίνεται εἰς τὸν θερινὸν τροπικὸν ἐν τῷ Καρκίνῳ, περὶ τὸν Ἐπιφὶ μῆνα, ὅς ἐςι κατὰ Ῥωμαίυς Ἰύλιος, ὅτε καὶ "φέρει πυρετὸν δειλοῖσι βροτοῖσι." τὸ τηνικαῦτα δὲ σφοδρῦ γινομένου τοῦ καύματος πάντες οἱ πρόσφοροι καρποὶ πέπειροι γίνονται. τὸ δὲ ὐκέτι ἐκεῖνον τὸν Σείριον ἑλληνισμός ἐςιν, ἀντὶ τῦ ὐκέτι ἐκείνυ ἀνιόντος ἅμα ἡλίῳ. ψεύδονται αἱ ἄρυραι. ἀναλδέα φυλλιόωσαι (333) ἀναυξῆ θάλλυσαι, ἀλλὰ τὰ μὲν ἰσχυρὰ καὶ ἀντέχοντα πρὸς τὸ καῦμα τῶν καρπῶν πέπειρα ποιεῖ, τὰ δὲ ἐξασθενήσαντα διαφθείρει.

336. ἀκούομεν ἀντὶ τοῦ αἰσθανόμεθα· ἀνατέλλοντος γὰρ αὐτοῦ ἀντιλαμβανόμεθα, καὶ ὅτε τροπὴν ποιεῖται καὶ δύσιν, πάλιν γινώσκομεν· ἐπειδὴ γὰρ οὗτος ὁ ἀστήρ ἐστιν ἐν παντὶ τῷ Κυνὶ ἐπισημότατος, φησὶν ὅτι καὶ ἀνατολῆς καὶ δύσεως αὐτοῦ αἰσθανόμεθα. οἱ δὲ ἄλλοι οἱ τὸ λοιπὸν αὐτοῦ ἀποπληροῦντες σῶμα ἀστέρες ἐλαφροὶ καὶ ἀνεπαχθεῖς εἰσὶν ἡμῖν.

338. εὖ καὶ προσηκόντως ἔχουσα ἡ τῶν ἄστρων θέσις· τῷ γὰρ κυνηγῷ εἰκότως ὁ Κύων φρουρός, καὶ ὁ Λαγωὸς παρὰ πόδας τοῦ κυνηγοῦ. ὑπὸ οὖν τοῖς ποσί, φησί, τοῦ Ὠρίωνος Λαγωὸς ὡσανεὶ διωκόμενος ὑπὸ τοῦ Κυνός, οὗ προανατέλλονται παραλλήλως τὰ ἄστρα. κατηστερίσθαι δὲ αὐτὸν λέγουσιν ὑφ' Ἑρμοῦ διὰ τὴν ταχυτῆτα καὶ τὴν πολυγονίαν· μόνῳ γὰρ τούτῳ ἐδόθη κύειν πλείονα, ὧν τὰ μὲν τίκτει, τὰ δὲ ἔχει ἐν τῇ κοιλίᾳ

339. ποιητικῶς χαριεντιζόμενος, ἅμα καὶ πρὸς τὸ διηνεκὲς τῆς φύσεως τοῦ κόσμου καὶ τὴν εἰσαεὶ τοῦ οὐρανοῦ διαμονὴν ἀποβλέπων, φησίν, ὁ Λαγωὸς ἀδιαλείπτως διώκεται. τὸ δὲ ἐμμενές διηνεκῶς. σημαίνει δὲ τὸ αἰώνιον τοῦ κόσμου καὶ ἄφθαρτον.

341. κατιόντα διώκει: ὥσπερ γὰρ ἐπικαταφερόμενος εἰς τὸν Λαγωόν ἐστιν ὁ Κύων. τὸ δὲ μετιόντι οὐ καλῶς προσέθηκεν, ἐπειδὴ τὰ ὕστερον ἀνατέλλοντα πρῶτα δύνει τῶν βορειοτέρων, μάλιστα τὰ πρὸς νότον κείμενα. καὶ ὁ Τοξότης ἐπανατέλλων τῇ Λύρᾳ πρότερος αὐτὸς ἐπὶ τὴν δύσιν παραγίνεται.

342. Κυνὸς μεγάλοιο: ὡς πρὸς ἀντιδιαστολὴν τοῦ μικροῦ Κυνός, ὃς καλεῖται Προκύων διὰ τὸ καὶ πρὸ τοῦ Σειρίου ἀνατέλλειν, περὶ ὃν (τὸν μικρὸν Κύνα) ἐπίκειται καὶ ὁ γαλαξίας. ὁ δὲ νοῦς, ὄπισθεν δὲ τοῦ Σειρίου ἡ Ἀργὼ φαίνεται, οὐκ ἔχουσα τὴν θέσιν κατὰ τὴν φύσιν, ἐπειδὴ οὐ τὴν πρώραν ἔχει προνενευκυῖαν καὶ προπλέουσαν, ὥσπερ ὤφειλε. διὰ γὰρ τοῦτο καὶ πρώρα καλεῖται κατὰ Ἡρωδιανόν, ἐτυμολογοῦντα αὐτὴν παρὰ τὸ προϊέναι τὸ προπορεύεσθαι, πρόιρα τις οὖσα καὶ πρῷρα, προσγεγραμμένον ἔχουσα τὸ ι. ἐπεὶ οὖν τὴν πρώραν οὐκ ἔχει ἡ Ἀργώ, φησὶν ὅτι πρὸς τὸ ἐναντίον πρυμνόθεν ἕλκεται (348) ἤγουν ὄπισθεν φέρεται ἡ Ἀργὼ περὶ πρύμναν, ὁμοίως ταῖς καταγομέναις τῶν νηῶν περὶ πρύμναν· καὶ ἔστιν ἡμίκομος. τὸ δὲ ἕλκεται ἴσως ὡς σκάφος· ἢ ὅτι ὑπὸ τοῦ οὐρανοῦ περιάγεται. οὐκ εἰς δέον δέ, φησίν, αὐτῆς ὁ πλοῦς, ὅτι μὴ ἐπὶ πρώραν, ἐπὶ πρύμναν δὲ φέρεται. κορώνη δὲ (345) τὸ τῆς πρύμνης ἐπικαμπές· ὁ δὲ Ἄρατος λέγει τὴν πρύμναν αὐτήν· ὅθεν Ὅμηρος κορωνίδας ναῦς. ἢ εἰς τοὐναντίον φέρεται ὡς ἐπὶ τὴν πρύμναν τραπεῖσα, ὥσπερ καὶ ἄλλαι νῆες ἐπὶ τὴν πρύμναν στρέφονται, ὅταν προσορμίζωνται, ἵν' ᾖ, ἡ δὲ πρύμνα ὡς ἐπὶ γῆν ἐν τῷ οὐρανῷ εἰσάγεται· ὅθεν καὶ τὰ πρυμνήσια δεσμοῦσι. καὶ γὰρ καὶ ἐπὶ τῶν ἄλλων νηῶν, ἐπειδὰν οἱ ναῦται ἀποστρέψωσι τὴν κορώνην ἤγουν τὴν πρύμνην ἐν τῷ ὁρμίζεσθαι,

Digitized by Google

τότε πᾶς αὐτὴν (τὴν ναῦν) ἀνακόπτει καὶ ἀνωθεῖ εἰς τὸ ἐναντίον, ἵνα μὴ ὁρμῇ χρησαμένη ἡ ναῦς ἀθρόως ἐμπέσῃ τῇ γῇ. εἰς τοὐπίσω οὖν ἠρέμα κωπηλατοῦντες κατ' ὀλίγον αὐτὴν προσορμῆσαι ποιοῦσι· διὸ καὶ αὐτός φησι παλιῤῥοθίη δὲ καθάπτεται ἠπείροιο (347) ἤγουν τῇ εἰς τοὐναντίον κωπηλασίᾳ καθορμίζεται τῇ ἠπείρῳ. ἱερίη δὲ (349) ἀντὶ τοῦ ἀνάστερος. Ἰησονὶς δὲ (348) ἡ ναῦς τοῦ Ἰάσονος. κατηστερίσθη δὲ αὕτη διὰ τὴν Ἀθηνᾶν, ὅτι πρώτη ναῦς ἐδείχθη παρ' αὐτῆς. ἀλλ' εἰς τοὐναντίον φέρεται.

351. παρῃωρημένον τὸ πηδάλιον κεῖται παρὰ τοῖς ὀπισθίοις ποσὶ τοῦ Κυνός, ὅστις (ὁ Κύων) τῆς Ἀργοῦς ἔμπροσθεν πορεύεται. κεχάλασται δὲ τὸ πηδάλιον αὐτῆς ὥσπερ ὁρμιζομένης νηός, ἐπειδὴ πρύμναν ἔχει μόνην καὶ ὥσπερ διόλου εἰσορμιζομένη ἐστίν. ἐπ' ἄκρου δὲ τοῦ πηδαλίου κεῖται μέγας ἀστὴρ ἐπώνυμος τοῦ Κανώβου τοῦ κυβερνήτου τοῦ Μενελάου. οὐ μνημονεύει δὲ τοῦ ἀστέρος ὁ Ἄρατος· οὐ γὰρ κατὰ τοὺς περὶ τὴν Ἑλλάδα τόπους οὐδὲ τοὺς ἔτι βορειοτέρους ἐπέχει τόπους, ἀλλ' ἐστιν ἀφανής, ὑπὸ γῆν φερόμενος· φαίνεται δὲ πρῶτον ἀπὸ Ῥόδου τοῖς ἐπ' Αἴγυπτον πλέουσιν.

352. διαλαμβάνει περὶ τοῦ κήτους ὅπερ Ποσειδῶν ἔπεμψε τῷ Κηφεῖ, καὶ περὶ τῆς Ἀνδρομέδας, καὶ διδάσκει αὐτὸ τὸ Κῆτος ἀπό τινων προεγνωσμένων, τοῦ τε Κριοῦ καὶ τῶν Ἰχθύων. ὁ δὲ νοῦς, τὴν δὲ Ἀνδρομέδαν καίπερ πολὺ πόῤῥω τοῦ Κήτους οὖσαν ὅμως ἐκφοβεῖ. πεπτηυῖαν δὲ (353) ἤτοι ὡς πρὸς τὸ δεδέσθαι ἑτοίμην οὖσαν τῷ Κήτει, ἢ ὅτι ἔμφασιν ἔχει τοῦ δέους· ἀπεστράφη γὰρ καὶ οὐκ ἀφορᾷ πρὸς τὸ Κῆτος, ἐπὶ δὲ τὰ βόρεια τὴν ὄψιν φέρει.

355. τὸ διάστημα τοῦ Κήτους καὶ τῆς Ἀνδρομέδας φησίν· ἡ μὲν γὰρ Ἀνδρομέδα βόρειός ἐστι, τὸ δὲ Κῆτος πολέμιον τῇ Ἀνδρομέδᾳ, ὅπερ θηρίον εἶπεν, εἰς τὰ νότια ὄν, κάτω τοῦ Κριοῦ καὶ τῶν Ἰχθύων ἀμφοτέρων, ὀλίγον ἄνω κείμενον τοῦ ἀστερώδους ποταμοῦ. ἔστι γάρ τι σύστημα νεφελῶδες ἐξ ἀστέρων, ὕδατος ῥύσιν μιμούμενον, ὅπερ φασὶν Ἠριδανοῦ εἶναι λείψανον· καὶ γὰρ ἐκεραυνώθη μετασχὼν τοῦ κεραυνοῦ τοῦ Φαέθοντος· εἰς αὐτὸν γὰρ κατηνέχθη ὁ Φαέθων ὑπὸ Διὸς καταφλεχθεὶς διὰ τὸ ἐπιβῆναι τῷ τοῦ ἡλίου ἅρματι.

359. θαυμασιῶς ἐδέξατο ἐκ τοῦ Κήτους διδάξαι τὸν παρακείμενον Ποταμόν. καὶ τὸ μὲν Ἠριδανοῦ καλούμενον λείψανον ὑπὸ τὸν τοῦ Ὠρίωνος κεῖται ἀριστερὸν πόδα· οἱ δὲ οὐραῖοι δεσμοὶ τῶν Ἰχθύων, οἷς ἀμφότεροι δέδενται, συμπεριφέρονται καὶ ἐπιψαύουσι τῆς τοῦ Κήτους ἀκάνθης· ἡ γὰρ τοῦ θηρίου ἄκανθα ἡ περὶ τὴν οὐράν, σεληνοειδὴς οὖσα, ἄκρως ἐπιψαύει ἀμφοτέρων τῶν δεσμῶν, οἷς καὶ αἱ τῶν Ἰχθύων οὐραὶ δέδενται. ἔστι δὲ ὁ Ἠριδανὸς τῆς γειτνιώσης τῇ Ἰταλίᾳ Γαλατίας, καλεῖται δὲ ὑπὸ τῶν ἐγχωρίων Βόχερν(σ)ος. Αἰγύπτιοι δέ φασι Νεῖλον αὐτὸν εἶναι τὸν κατηστερισμένον.



Digitized by Google

360. πολυκλαύςου: ὅτι αἱ Ἡλιάδες παρὰ ταῖς τοῦ Ἠριδανοῦ ὄχθαις ὀδυρόμεναι τὸν ἀδελφὸν εἰς αἴγειρον μετεβάλλοντο, ὅπου αὐτῶν καὶ τὸ δάκρυον ἤλεκτρον ποιεῖ.

364. φορέονται: οἱ δεσμοὶ δηλαδή, εἰς ταύτην περατούμενοι καὶ εἰς τέλος ἐρχόμενοι. τὸ δὲ ὅς κείνου (366) ἀντὶ τοῦ ὅςις ἀςὴρ ἐπίκειται τῇ ἀκάνθῃ τοῦ προειρημένου Κήτους· ὁ γὰρ ἐπὶ τῆς ἀκάνθης ἀςὴρ τέλος ἐςὶ τῶν δεσμῶν τῶν Ἰχθύων.

367. μέτρῳ λέγει τῷ μεγέθει. λέγει οὖν ὅτι μικροί εἰσι καὶ ἀμυδροί. φησὶ δὲ περὶ τῶν νοτίων ἀςέρων τῶν μεταξὺ τοῦ πηδαλίου καὶ τοῦ Κήτους διηκόντων κατὰ τῶν τοῦ Λαγωοῦ πλευρῶν. οὗτοι δὲ οἱ ἀςέρες παρὰ τῶν παλαιῶν ἀςρονόμων οὐ διετυπώθησαν οὐδὲ εἰδωλοπεποίηνται, ὥσπερ ἅπαντα τὰ προειρημένα· ἀλλ' ἐπειδὴ ἀφανεῖς εἰσιν ὄντες σφόδρα νότιοι, διὰ τοῦτο οὐ τυπώσεως ἔλαχον παρὰ τῶν παλαιοτέρων. οὕτω δὲ αὐτῶν ψιλῶς μνημονεύει ὑπὲρ τοῦ μή τινας ἐν τοῖς νοτίοις τούτους τοὺς ἀςέρας θεασαμένους πλανηθῆναι. τίνες οὖν εἰσὶν οἱ ἀςέρες οὗτοι, οὐ λέγει, ἀλλὰ διδάσκει ὅτι μάτην φέρονται. ἀμυδροὶ δέ εἰσιν οἱ νοτιώτεροι ἀςέρες, ἐπειδὴ προσγειότεροί εἰσι τῶν βορείων· αἱ δὲ τῆς γῆς ἀναθυμιάσεις διδόμεναι ἀμαυροῦσι τοὺς ἀςέρας.

369. γλαυκὸν εἶπεν ἤτοι ἀναφέρων ἐπὶ τὸ ζώδιον ἢ καὶ τὸν τοῦ οὐρανοῦ τόπον ἐν ᾧ ὁ Λαγωός, οὐ πάνυ εὐάςερον ὄντα, χρῶμα δὲ καὶ μόνον οὐρανοῦ παρεχόμενον οἷον γλαυκίζον.

370. οὐ γὰρ μορφωθέντος εἰδώλου ἐπὶ τοῖς μέλεσι κεῖνται, ὁποῖα πολλὰ εἴδωλα τὰ προειρημένα πάντα ἐφεξῆς καὶ κατὰ τάξιν κείμενα ἀνύει τὰς αὐτὰς ὁδοὺς ἐπιγιγνομένων τῶν χρόνων. ἐδίδαξεν οὖν ἡμᾶς ὅτι εἰδωλοποίησαν οἱ παλαιοὶ τοὺς ἀςέρας ὑπὲρ τοῦ εὐσυνόπτους εἶναι· οὗτοι δὲ οὐκ εἰδωλοποιήθησαν ὡς τὰ προειρημένα.

372. περὶ τῶν λοιπῶν διαλέγεται ἀςέρων, ὅτι ἕκαςος αὐτῶν τὰς αὐτὰς ὁδοὺς καὶ περιφορὰς ἔχει. ἀφ' οὗ γὰρ ἂν σημείου τοῦ ὁρίζοντος ὁ Αἰγόκερως ἀνατέλλῃ, εἰς ἐκεῖνο πάλιν τὸ σημεῖον ἀνατέλλει· καὶ εἰς οἷον ἂν μέρος δύσιν ποιήσηται, πάλιν δυόμενος οὐκ εἰς ἕτερον μέρος δύσεται. τὸ δὲ αὐτὸ τοῦτο καὶ ἐπὶ πάντων· ἕκαςον γὰρ κατὰ τὰ αὐτὰ σημεῖα ἀνατέλλει τε καὶ δύνει.

373. τὰ εἴδωλα οὐ τῶν νῦν ἔτι ὄντων ἀνδρῶν τις, ἀλλὰ παλαιός τις ἀνὴρ ἐσκέψατο, καὶ διενοήθη ἅπαντα ἀθρόα καὶ ὁμοῦ μορφῶσαι καὶ ὄνομα θέσθαι ἑκάςῳ· οὐ γὰρ ἠδυνήθη πάντων τῶν ἀςέρων καθ' ἕνα διακρίνων ὄνομα εἰπεῖν ἢ μαθεῖν, ἀλλ' ἀπὸ πολλῶν Κηφέα καὶ Λέοντα καὶ Τοξότην εἰπὼν καὶ τἄλλα πάντα διετύπωσε, καὶ προσηγορίαν πάσῃ τῇ διατυπώσει δέδωκε, Τοξότην εἰπὼν καὶ Λέοντα καὶ τὰ ἑξῆς. ἐδίδαξεν ἡμᾶς καὶ πῶς εἰδωλοποιήθησαν καὶ δι' ἣν χρείαν.

375. οὐκ ἠδύνατο πάντων ἰδίᾳ καὶ καθ' ἕνα κεχωρισμένων ὀνόματα

Digitized by Google

ἐπιθεῖναι, οὐδὲ μαθεῖν ἕκαςον καθ' ἕνα. καὶ γνῶναι οὕτως πολλῶν ὄντων δυνατὸν ἦν.

377. πολλοὶ γὰρ ἀςέρες κατὰ πᾶν μέρος τοῦ οὐρανοῦ, καὶ πολλῶν ἴσα τὰ μεγέθη εἰσὶ καὶ τὸ φῶς καὶ αἱ χρόαι ὅμοιαι, καὶ πάντες εἰσὶν ἀμφιέλικτοι, οἷον συμπεριφερόμενοι τῷ οὐρανῷ, ἀνατέλλοντές τε καὶ δύνοντες. ἐπεὶ οὖν πολλά ἐςι τὰ ὁμοιούμενα αὐτῶν, οὐκ ἠδύνατο ἰδίως καὶ καθ' ἓν σκοπεῖν· διὸ καὶ ἐπὶ τὸ αὐτὸ ἔδοξεν αὐτοῖς συναγαγεῖν ἀςέρας πλείους, εὐεπίγνωςον τὸ σχῆμα ἀπεργαζομένους.

379. διὰ ταύτην, φησί, τὴν αἰτίαν αὐτοῖς (τοῖς ἐξ ἀρχῆς τὴν διατύπωσιν ποιησαμένοις) ἔδοξεν ὁμηγερέας καὶ ἅμα πλείονας ποιήσασθαι καὶ διατάξαι ἀςέρας, ὅπως ἐφεξῆς καὶ κατὰ τάξιν ἄλλῳ παρακείμενος ἄλλος ἰδέας καὶ μορφώσεις ἀποτελοίη. εὐθέως οὖν ἐγένετο τὰ εἴδωλα τὰ προειρημένα, ταῦτα τὰ παρ' ἐκείνων μορφωθέντα, ὀνομαςά· καὶ νῦν οὐκέτι ἐν θαύματι ἀνατέλλει ἀςὴρ οὐδὲ καινίζει (ξενίζει?) τῇ καινότητι τῆς ὄψεως· πάλαι γὰρ τὴν ὄψιν ἔχομέν τε καὶ ἔγνωμεν.

381. εἴδεα τὰ προειρημένα εἴδωλα. ἢ οὐδετέρως εἶπε τὰς ἰδέας αὐτῶν. τὸ δὲ ἄφαρ . . .

383. κατὰ τάξιν ἦλθε λοιπὸν εἰς τὸ προκείμενον. ἀλλ' οἱ μὲν προειρημένοι ἀςέρες εὐσύνοπτοί πως εἰδώλοις ἡρμοσμένοι καὶ ἡμῖν φανεροί εἰσι· τὰ δὲ προκείμενα ἄςρα κατωτέρω κείμενα τοῦ ἐπιδιωκομένου Λαγωοῦ (εἴπομεν δὲ πῶς διώκεται) πάντα ἐςὶ σκοτεινὰ καὶ ἀνώνυμα· οὐ γὰρ μορφωθέντα ὀνομασίας ἔσχεν, ἀλλ' ἀχλυώδη ὄντα διὰ τὸ εἶναι νότια καὶ ἀπροσηγόρευτά ἐςι. δι' ἣν δὲ αἰτίαν μέμνηται μόνον αὐτῶν, προεξεθέμεθα (p. 84, 13 et 86, 1).

386. περὶ τοῦ νοτίου Ἰχθύος διαλαμβάνει, καὶ τοῦτον πάλιν ἀπὸ τῶν προεγνωσμένων διδάσκει, ἀπὸ τοῦ Αἰγοκέρωτος. ἐν ταῖς τοῦ νότου πνοαῖς· σφόδρα γὰρ νοτιώτερός ἐςι καὶ τοῦ Αἰγοκέρωτος Ἰχθύς. οὗτος δὲ ὁ Ἰχθύς ἐςιν ὁ μέγας καλούμενος, ὃς κάπτειν λέγεται ὕδωρ ἀπὸ τῆς τοῦ Ὑδροχόου χύσεως. τούτου δὲ ἐκγόνους τοὺς δύο Ἰχθῦς εἶναι λέγεται.

387. τὴν γὰρ ὄψιν ἐπὶ τὸ Κῆτος ἔχει ἀφορῶσαν, δύο οὖν δίδωσι τεκμήρια τῆς καταλήψεως, ἀπὸ τῆς τοῦ Αἰγοκέρωτος θέσεως καὶ τῆς ἐπὶ τὸ Κῆτος τροπῆς. τὸ δὲ ἠώρηται ἤτοι ἁπλῶς φέρεται, ἢ τὸ κυριώτερον, ἐπειδήπερ ἐπὶ νότον ὢν ἄνω αἰωρουμένην καὶ μετεωριζομένην ἔχει τὴν ὄψιν ὡς ἐπὶ τὸ Κῆτος.

388. σφόδρα ἀκριβῶς, ἵνα μὴ περὶ Ἰχθύος διαλαμβάνων λίαν πλανᾷ τὸν ἀκούοντα ὡς πρὸς τοὺς προειρημένους, προστίθησι τὸ οἶος ἀπὸ τῶν προτέρων, δηλαδὴ τῶν προεγνωσμένων ἐν τῷ ζῳδιακῷ κύκλῳ. καλοῦσι δὲ τὸν Ἰχθὺν νότιον ἀπὸ τῆς θέσεως, ἢ ὅτι πρὸς τὸν νότιόν ἐςι κύκλον.

389. πάλιν διαλαμβάνει περί τινων ἀςέρων κειμένων ἐν τῷ νοτίῳ μεταξὺ τοῦ τε Ἰχθύος καὶ τοῦ Ὑδροχόου καὶ τοῦ Κήτους. μνημονεύει δὲ

Digitized by Google

αὐτῶν πάλιν διὰ τὴν προειρημένην αἰτίαν, ὑπὲρ τοῦ μή τινα πλανηθῆναι ἰδόντα αὐτοὺς ἐν τῷ νότῳ κειμένους. φησὶν οὖν ὅτι ἀνονόμαστοί εἰσι.

391. νωχελέες: βραδεῖαν ἔχοντες τὴν κατάληψιν· ἀμυδροὶ γὰρ διὰ τὸ εἶναι περιγειότεροι.

393. ὁ Ὑδροχόος ἔχει ὥσπερ ὑδρίαν ἀπὸ ἀστέρων, ἀφʼ ἧς λοιπὸν ἐξ κάτω ἀστέρες φέρονται ὑδάτων χύσιν ἀπομιμούμενοι. ἔνθα δὲ καὶ ἔνθα φησὶ διὰ τὰς καμπὰς τῶν ἐκχεομένων ὑδάτων, τῇδε κἀκεῖσε· οὕτω γὰρ καὶ οἱ ἀστέρες ἐκεῖνοι.

394. ἀναλδέες: οἱ πυροειδεῖς καὶ ἔκλαμπροι, ἢ οἱ μὴ μεγάλοι· ἀλδαίνειν γὰρ τὸ αὐξάνεσθαι. τὸ δὲ ἐν σφίσιν (395) ἐν πᾶσι τοῖς τὸ ὕδωρ ἀποτελοῦσιν ἀστράσι μᾶλλον τῶν ἄλλων δύο ἀστέρες φανερώτεροι καὶ λαμπρότεροι φέρονται, οὔτε πολὺ ἀπʼ ἀλλήλων διεστηκότες οὔτε ἐπὶ πολὺ ψαύοντες ἀλλήλων.

397. ὁ μὲν εἷς καὶ πάνυ ἐστὶ φαιδρὸς ὑπὸ τοῖς τοῦ Ὑδροχόου ποσίν, ὁ δὲ ἕτερος τοῦ κυανέου Κήτους ὑπὸ τὴν οὐράν.

εἰσὶ δὲ καὶ ἄλλοι ὁμοίως ἀφανέστεροι ἐν κύκλου περιγραφῇ (ἐν κυκλοτερεῖ τμήματι γραφόμενοι M), οὓς τῶν νεωτέρων τινὲς Οὐρανίσκον καλοῦσιν, οἱ δὲ νότιον Στέφανον. εἶναι δὲ αὐτοὺς οἱ μὲν Προμηθέα φασίν, οἱ δὲ Ἰξίονος τροχόν. κεῖνται δὲ ὑπὸ τοῖς ἐμπροσθίοις ποσὶ τοῦ Τοξότου, καὶ εἰσὶν ἀστέρες ιθʹ. τὸ δὲ δινωτοὶ (401) περιηγμένοι εἰς κύκλον, παρὰ τὸν δῖνον τὴν ἐγκύκλιον φοράν.

401. δινωτοί: περιφερεῖς καὶ εἰς κύκλους περιηγμένοι, παρὰ τὴν δίνην καὶ τὴν ἐν κύκλῳ φοράν, ἢ διὰ τὸ τὰ τοιαῦτα τῶν ἀστέρων δοχεῖα εἶναι περιηγῆ καὶ κύκλου ἔχοντα σχῆμα, ἢ διὰ τὴν τετυπωμένην εἰς τύπον Στεφάνου παράλληλον τῶν ἀστέρων θέσιν.

402. αἰθομένῳ: λαμπρῷ· λαμπρότεροι γάρ εἰσιν οἱ ἐπὶ τοῦ κέντρου ἐπικείμενοι ἀστέρες. μέγα δὲ τέρας τὸν Σκορπίον φησὶ διὰ τὰ προειρημένα, ὅτι δύο ζῳδίων ἐπέχει τάξιν· ξʹ γὰρ μοιρῶν ἐστὶ τὸ ζῴδιον. αἰθόμενον δὲ αὐτοῦ φησὶ τὸ κέντρον ὡς πρὸς τοῦ σκορπίου τὰ δήγματα· ἔνιοι γὰρ σφόδρα διάπυρον ἔχουσι τοῦ κέντρου τὸ τύμμα. ὁ δὲ νοῦς, κάτω δὲ τοῦ διαπύρου κέντρου τοῦ Σκορπίου Θυτήριον αἰωρεῖται, ὅ ἐστιν ἤρτηται, φέρεται. τὸ δὲ ἄγχι νότοιο ἀντὶ τοῦ σχεδὸν τοῦ νότου· νοτιώτερον γάρ ἐστι πάντων τῶν ζῳδίων τὸ Θυτήριον, τοῦ νοτίου πόλου ἐπιψαῦον. τὸ δὲ Θυτήριον λιβανώτιδι ὅμοιόν ἐστιν, ᾧ φασὶ τοὺς θεοὺς χρήσασθαι ὅτε τοὺς Τιτᾶνας κατηγωνίσαντο. Ἐρατοσθένης δέ φησι τοῦτο τὸ Θυτήριον εἶναι, ἐφʼ ᾧ τὸ πρῶτον οἱ θεοὶ συνωμοσίαν ἐποιήσαντο ὅτε ἐπὶ τοὺς Τιτᾶνας ἐστράτευσεν ὁ Ζεύς, Κυκλώπων κατασκευασάντων, ἔχον ἐπὶ τοῦ πυρὸς κάλυμμα, ὅπως μὴ ἴδωσι τὴν τοῦ κεραυνοῦ δύναμιν· ἐπιτυχόντες δὲ τῇ πράξει ἔθηκαν καὶ εἰς οὐρανοὺς τὸ αὐτὸ κατασκεύασμα· ὃ καὶ εἰς τὰ συμπόσια φέρουσιν οἱ κοινωνεῖν βουλόμενοι, ἢ αὐτοὺς (κριτὰς?) αἱρούμενοι ἐν τοῖς ἀγῶσι, καὶ τοῖς ὀμνύειν δίδοται βουλομένοις

Digitized by Google

ὡς δικαιοτάτην πίστιν τηρῶσι, καὶ τῇ χειρὶ ἐφάπτονται, δεικνύντες εὐγνωμοσύνης μαρτύριον τὸ πῦρ. ὁμοίως δὲ καὶ οἱ μάντεις τοῦτο ποιοῦσιν.

404. ἀντὶ τοῦ ἐπ' ὀλίγον χρόνον τοῦτο ὑπὲρ γῆν φερόμενον θεάσῃ. ἑσπερίαν ἅλα δὲ (407) τὴν δύσιν λέγει. τὸ δὲ ἀντιπέρην ἀείρεται ἤγουν εἰς τὸ ἐναντίον. πῶς δὲ τὸ ἐναντίον τὰς περιφορὰς ἔχει, διδάσκει.

406. τῷ μὲν Ἀρκτέρῳ σφόδρα μετέωροι καὶ μεγάλαι εἰσὶν αἱ περιφορὰι ἅτε δὴ καὶ βορείῳ ὄντι· τὸ δὲ Θυτήριον ταχέως ὑπὸ τὸν ἑσπέριον ὠκεανὸν δύεται. ἔλαβε δὲ τὸν Ἀρκτοῦρον, ἐπειδὴ καὶ αὐτὸς ἐπιψαύει τοῦ βορείου κύκλου ἢ πόλου, ὥσπερ καὶ τὸ Θυτήριον τοῦ ἀνταρκτικοῦ. καὶ ἔστιν οὕτως. ἀνατέλλει μετὰ Λέοντος ὁ Ἀρκτοῦρος, ἰδοὺ β' ὧραι· εἶτα Παρθένος, ἰδοὺ δ'· εἶτα Ζυγός, ἰδοὺ ὧραι ς'· εἶτα Σκορπίος, ἰδοὺ ὧραι η'. καὶ τότε μετὰ ὥραν ὀγδόην τὸ Θυτήριον ἀνατέλλει, εἶτα Τοξότης, ὧραι ι'· Αἰγόκερως, ιβ'· Ὑδροχόος, ιδ'· εἶτα Ἰχθύες, ὧραι ις'. καὶ τοῦ Θυτηρίου ὧραι η'. η' οὖν ὥρας ποιήσαν δύεται τὸ Θυτήριον, ὁ δὲ Ἀρκτοῦρος ις'· ὑπέργειος μὲν γὰρ οὗτος, ὑπόγειον δὲ ἐκεῖνο, καὶ ἐναντίον τούτου πορεύεται. διὸ καὶ τὸ μὲν θᾶττον δύνει, ὁ δὲ μείζονας ἔχει τὰς περιφοράς.

τὸ Θυτήριον τρισὶ μοίραις ὑπέργειον, πέντε δὲ ὑπόγειον.

408. ἀρχαίη: ἀρχαιοτέρα γάρ ἐστι τῶν θεῶν· καὶ παρ' Ἡσιόδῳ "ἐκ χάεος δ' ἔρεβός τε μέλαινά τε νὺξ ἐγένοντο." φασὶ δέ τινες ὅτι μυθικῶς τι ἐπιψαύων καὶ φυσικῶς ἅπτεται, ὅτι ἡ νὺξ ὀδυρομένη τὴν τῶν ἀνθρώπων ταλαιπωρίαν τοῦ θαλαττίου χειμῶνος καὶ τοῦ πάθους σημεῖον ἔθηκεν ἐκεῖνο τὸ Θυτήριον, ὅτε ὁ ἥλιός ἐστιν ἐν Αἰγοκέρωτι, τῷ Τυβὶ μηνί, ὅς ἐστι κατὰ Ῥωμαίους Ἰανουάριος, ὅτε καὶ ὁ νότος ἐν χειμῶνι πνεῖ.

410. σκεδαννύμεναι γὰρ καὶ σκορπιζόμεναι καὶ ἀποφθειρόμεναι αἱ νῆες ἐκείνῃ (ἤγουν τῇ νυκτὶ) οὐκ ἀρέσκονται αὐτῇ, ἀλλ' ἄχθεται ἐφ' οἷς κινδυνεύουσιν οἱ ἄνθρωποι κατὰ τὸ πέλαγος. οὐκ ἀρέσκουσιν οὖν αὐτῇ· ἀποθύμιαι γάρ εἰσι.

411. τὰ δ' ἄλλοθεν ἄλλα: ἤγουν τὸ βιωφελές. ὡς γὰρ προείπομεν, καὶ φυσικῶς ἅπτεται, ὅτι ἡ νὺξ πολλὰ τεκμήρια ἐπιδείκνυσιν, οἰκτείρουσα τοὺς ἀνθρώπους τοὺς περικλυζομένους καὶ κινδυνεύοντας· δι' ὧν γὰρ προεπιδείκνυσι, προσκέψασθαι τὰ μέλλοντα ποιεῖ. τὸ δὲ παλιῤῥοθίους (412) περικλυζομένους ἀνθρώπους· ῥόθια γὰρ τὰ ῥεύματα, κυρίως δὲ αἱ τοῦ κλύδωνος ὁρμαί. ὅταν οὖν συννεφὴς ὁ ἀὴρ ᾖ, φανῇ δὲ τὸ Θυτήριον καθαρὸν καὶ ἀνέφελον, τὰ δὲ ἄνω πρὸς βορέαν αὐτοῦ νέφει κατέχηται, οἷα πολλάκις γίνεται, μάνθανε ὅτι χειμὼν ἔρχεται παραυτίκα. ἔνιοι δὲ τὸ εἰλυμένος κεκλιμένος γράφουσι, καὶ συνάπτουσι τῷ πελάγει, ἵνα ᾖ, μή μοι κεκλιμένος τῷ πελάγει. σημεῖον δέ, φησίν, αὐτὸ νότου πνέοντος. ὁ νοῦς δὲ οὗτος, μή μοι ἐν τῷ πελάγει ὤν, τῶν πλησίον τοῦ Θυτηρίου καὶ ἀνωτέρω ἄλλων ἀστέρων ὑπὸ νεφέλῃ κεκαλυμμέ-

Digitized by Google

φῶν, εὔχου αὐτὸ ἐν μέσῳ τοῦ οὐρανοῦ ἀνέφελον καὶ εὐσύνοπτον ἰδεῖν· τότε γὰρ σφοδρὸς χειμὼν ἔσται. ἐπειδὴ γὰρ τὸ Θυτήριον σφόδρα πλησιάζει τῷ νότῳ, διὰ τοῦτο, ὅταν τὰ ἐπιόντα εἰς αὐτὸν νέφη ὁ νότος κάτωθεν πνέων ἀποπέμπῃ ἀφ' ἑαυτοῦ, αὐτὸς δὲ μένῃ ἀνέφελος, κἀκεῖνο ἀνέφελον μένει. μὴ οὖν, φησίν, ἐν μέσῳ πελάγει ὢν εὔχου ἰδεῖν τὰ μὲν ἀνωτέρω αὐτοῦ ἄστρα κεκαλυμμένα νέφεσιν, αὐτὸ δὲ ἀνέφελον· τότε γὰρ χειμὼν καὶ νότος ὁ "δεινὸς ἀήτης, ὅστις ὄρινε θάλασσαν· ὁμαρτεῖ δ' αὖ Διὸς ὄμβρος." εἰλυμένον δὲ ἄλλων (413) τουτέστιν ἐκ νεφελῶν ἄλλων εἰλυμένον τὸ Θυτήριον.

415. ὕψι δέ: τὰ δὲ ἐν ὕψει αὐτοῦ καὶ ἀνωτέρω πεπιεσμένα μέλανι καὶ δεινῷ νέφει. φιλεῖ γὰρ πρὸς τὰ προανατέλλοντα καὶ ὑπερκείμενα ἀποδιώκειν τὰ νέφη ὁ πνεῖν μέλλων ἄνεμος καὶ αὐτὰ πυκνοῦν.

418. τουτέστι σημεῖον αὐτὸ ποιεῖ ἐπὶ τῷ νότῳ. φοβοῦ τοίνυν ἐπὶ τῷ σημείῳ τοῦ Θυτηρίου πνέοντα νότον, ἕως ἂν ἐπιστρέψαντος τοῦ βορέου αἰσθήσηται (430).

420. οἱ δὲ ναῦται ἐὰν μὲν πιστεύσωσι τῇ νυκτὶ καθήκοντα καὶ ὠφέλιμα δηλούσῃ, καὶ εὐθέως τεκμήριον ἰδόντες, ὅτι ταραχὴ ἔσται τῶν ὑδάτων, κοῦφα τὰ πάντα τὰ ἐν τῇ νηῒ ποιήσωνται, πρὸς σωτηρίαν τείνουσι (λέγει δὲ κοῦφα τὸ ἐγχαλάσαι τοῖς τοῦ ἀρμένου ποσὶ καὶ μὴ φιλονεικεῖν ἐναντίον τοῖς πνεύμασι), καὶ ὁ πόνος ἐλαφρότερος ἔσται· εἰ δὲ μή, ἀπρόφατος ἤγουν ἀπροσδόκητος ἐμπεσεῖται, καὶ διαταράξει τὰ ἄρμενα μὴ χαλασθέντα ἀλλ' ἐναντιούμενα τῷ κακῷ. τότε δὲ οἱ πλέοντες ἔστιν ὅτε ὑποβρύχιοι καὶ ὑπ' αὐτὸ τὸ ὕδωρ πλέουσιν, οὐκ ἐπὶ νηὸς ἀλλ' ἐπ' αὐτῶν τῶν ὑδάτων φερόμενοι· ἔσθ' ὅτε δὲ ἐὰν ἐπιτύχωσι τοῦ Διὸς παριόντος, ῥύονται καὶ πολλὰ μάλα πρότερον κακοπαθήσαντες πάλιν ὁρῶσιν ἀλλήλους ἐν τῇ νηΐ· οὐ γὰρ ἴσασιν ὑπὸ τοῦ κακοῦ ὅπου εἰσίν. τοῦτο δὲ ὡς ἐν θαύματι φησίν, ὅτι εἰ μὴ ἄρα ὁ Ζεὺς παριὼν τύχῃ καὶ εὐχομένοις ἐπέλθῃ, καὶ τοῦ βορέου ἡ δύναμις ἐναντίον τῇ τοῦ νότου πνεύσῃ καὶ διασκορπίσῃ τὰ νέφη καὶ αἰθρίαν ποιήσῃ (πνεύσας γὰρ ὁ βορέας ἀεὶ σκεδαννύει τὰ νέφη, ὡς καὶ Ὅμηρος "αἰθρηγενέος βορέαο"), οὐκ ἂν τοῦτο γένηται.

431. ἂν δὲ μεσουρανήσῃ ὁ τοῦ Κενταύρου ὦμος, ὀλίγη δὲ περὶ αὐτὸν ἀχλὺς ᾖ (ἤτοι τὸν ὦμον ἢ τὸν Κένταυρον), τὰ δὲ ἐπὶ τῷ Θυτηρίῳ σημεῖα ὅμοια ᾖ, οὐ χρή σε νότον φαντάζεσθαι ἀλλ' εὖρον. τῷ δὲ προτέρης (432) συνυπακουστέον θαλάσσης· τὸν γὰρ ὁρίζοντα καὶ ὠκεανὸν καὶ θάλασσαν καλεῖ, ἀχλὺν δὲ τὴν ἐκ τῶν νεφῶν ἀορασίαν. ὁ δὲ νοῦς, ἐὰν δὲ τοῦ νοτίου Κενταύρου ὁ ὦμος τοσοῦτον ἀπέχῃ τῆς ἀνατολῆς ὅσον καὶ τῆς δύσεως (ἀντὶ τοῦ ὅτε μεσαίτατός ἐστι καὶ μεσημβρινός), καὶ αὐτὸν μὲν τὸν Κένταυρον κατὰ πᾶν τὸ ἄλλο σῶμα περιβάλλῃ ἐκ νεφελῶν ὀλίγη ἀορασία, μετὰ ταῦτα δὲ ἐπὶ τῷ Θυτηρίῳ τὰ προειρημένα

Digitized by Google

σημεῖα ἀποτελοίη ἡ νύξ, οὐκέτι φησὶν ὀφείλεις νότον προσδοκᾶν, ἀλλὰ τὸν εὖρον ἐπιτηρεῖν, ὃς ἀπὸ χειμερινῆς ἀνατολῆς πνεῖ.

433. μετὰ δὲ ταῦτα, ὡς διασαφῆ εἶναι τὸν Κένταυρον ἐπὶ τῷ λάμποντι Θυτηρίῳ. εἴπομεν δὲ ὅτι ἂν ᾖ αὐτὸ μόνον ἀνέφελον, τὰ ὑπεράνω δὲ αὐτοῦ νεφελώδη, ἕψεται τὰ ἐοικότα σημεῖα, τουτέστι φανερὰ καὶ γνώριμα.

435. εὔροιο: ἑλληνισμός; ἀντὶ τοῦ εὔρου ἀνέμου. λοιπὸν ὡς πνευσομένου δεῖ περισκοπεῖν.

436. ὁ Κένταυρος δυσὶ ζωδίοις ὑποκέκλιται· τὰ μὲν γὰρ ἀνδρὶ ὅμοια αὐτοῦ ὑπὸ τῷ Σκορπίῳ κεῖται πρὸς ἀνατολήν, τὰ δὲ ἵππῳ παραπλήσια ὑπὸ ταῖς Χηλαῖς πρὸς δύσιν. αὐτὸν μὲν οὖν Ἕρμιππος Χείρωνά φησιν εἶναι, τὸ δὲ θηρίον σύμβολον θήρας, τὸ δὲ Θυτήριον τοῦ Πηλέως γάμου σημεῖον. ὁ δὲ Χείρων ἐν τῷ σπηλαίῳ κατοικήσας δικαιοσύνῃ συνέζη, καὶ παιδεύσας Ἀσκληπιὸν τὸν υἱὸν Ἀπόλλωνος καὶ Ἀχιλλέα τὸν Πηλέως τὴν ἰατρικήν, καὶ Ἰάσονα, πρὸς τιμὴν κατηστερίσθη.

440. οἱ: τῷ Κενταύρῳ. τὸ δὲ λέγειν ἄλλο θηρίον οὐ πρὸς αὐτὸν τὸν Κένταυρον ἀντιδιέστειλεν· ἄτοπον γὰρ θηρίον λέγειν τὸν Χείρωνα τὸν πάντων Κενταύρων λογιώτατον καὶ δικαιότατον· ἀλλὰ πρὸς ἀντιδιαστολὴν τοῦ Σκορπίου, ὃς ὑπέρκειται τοῦ Κενταύρου, τὸ ἄλλο θηρίον εἶπεν· ἄμεινον γὰρ οὕτως ἀκοῦσαι. τὸ δὲ ἐσφήκωται δυσάποσπάστως καὶ ἀσφαλῶς ἐστήρικται, ἐρήρεισται.

441. ἄλλο: ἐνταῦθα συνέλαβε σῶμά τι ἀδιάρθρωτον, ὃ καὶ ὑπὸ τῶν ἀρχαίων θηρίον προσηγορεύθη.

443. περαιόθεν: ἢ ἐκ τῶν ἀνατολικῶν μερῶν, ἢ ἐκ τῶν πέρα καὶ πόῤῥω τοῦ Κενταύρου. ἄλλως. περαίην λέγει τὴν ἀνατολήν· καὶ Ὅμηρος "νύκτα μὲν περαίην δολιχὴν σχέθεν." λέγεται δὲ περαία καὶ ἡ δύσις· πέρα γὰρ τῆς γῆς ἐστί. τὸ δὲ ἕλκεται σφόδρα κυριολεκτήσας εἶπε· λίαν γὰρ καὶ πάνυ ἐπὶ μήκιστον ἐκτέταται ἡ Ὕδρα, ὡς τριῶν ζωδίων μοίρας ἐπέχουσα, τοῦ τε Καρκίνου καὶ τοῦ Λέοντος καὶ τῆς Παρθένου. τοῦτο δὲ τὸ ζώδιον οἱ Ἕλληνες Ὕδραν ἐκάλεσαν διὰ τὸ ζῷον ἐκεῖνο ὅπερ Ἡρακλῆς κατηγωνίσατο. οἱ μέντοι Αἰγύπτιοι Νεῖλον εἶναι τὸ ἄστρον τοῦτο λέγουσι, καὶ λόγους πιθανοὺς προφέρουσιν· ἡ γὰρ κεφαλὴ τοῦ ζωδίου ἐστὶ περὶ τὴν ἱερὴν μοῖραν τοῦ Καρκίνου περὶ τὸν Ἐπιφὶ μῆνα, ὅς ἐστι κατὰ Ῥωμαίους ὁ Ἰούλιος, ὅτε καὶ τὰς ἀρχὰς .... τὸ μέσον αὐτοῦ τοῦ σώματος ποιεῖται τὸν Λέοντα τῷ Μεσορί, ὅς ἐστι κατὰ Ῥωμαίους Αὔγουστος, ὅτε τὸ μεσαίτατόν ἐστι τῆς τοῦ Νείλου ἀναβάσεως· τὰ δὲ τελευταῖα αὐτοῦ πρὸς τὴν Παρθένον περὶ τὸν Θώθ, ὅς ἐστι Σεπτέμβριος, ὅτε καὶ τὰ τελευταῖά εἰσι τῆς τοῦ Νείλου ἀναβάσεως. ἡ δὲ οὐρὰ αὐτοῦ ὑπὲρ τὴν κεφαλὴν ὀφείλει εἶναι τοῦ Κενταύρου, ἵνα καὶ ὑπὸ τὰς Χηλὰς ᾖ τὸ τέλος αὐτοῦ· τῷ γὰρ Φαωφὶ παύεται ὁ Νεῖλος, ὅς ἐστι κατὰ Ῥωμαίους Ὀκτώβριος. ἄλλως τε καὶ ὁ Κόραξ ἐπὶ τὴν οὐρὰν αὐτοῦ τοὐμφανὲς ἡμῖν παρίστησιν· ἐκ

Digitized by Google

τῆς γὰρ χροιᾶς αὐτοῦ (δηλονότι τοῦ Κόρακος) μελαίνης οὔσης νοοῦμεν ὅτι τότε ἀφανὴς γίνεται ὁ Νεῖλος. καὶ ὁ Κρατὴρ δὲ οἰκεῖος τῇ γῇ ἢ ποταμῷ.

449. τινές φασι τὸν Κόρακα θεράποντα Ἀπόλλωνος ὄντα ὑπ' αὐτοῦ πεμφθῆναι σπονδῶν χάριν ἔκ τινος κρήνης κομιοῦντα καθαρὸν ὕδωρ ἐν κρατῆρι· ἰδόντα δὲ συκῆν ὀλύνθους ἔχουσαν ἀναμεῖναι μέχρι ἂν πεπανθῶσι· φαγόντα δὲ οὕτω, καὶ τὸ ἁμάρτημα συνθήσαντα, ἁρπάσαντά τε ὕδραν ἐκ τῆς πηγῆς ὁμοῦ τῷ κρατῆρι φέρειν καὶ λέγειν ὡς διεκωλύετο ὑδρεύσασθαι ὑπ' αὐτῆς· Ἀπόλλωνα δὲ γνόντα τὸ ἀληθὲς εἰς ὄρνεον αὐτὸν μεταμορφῶσαι καὶ ποιῆσαι διψᾶν περὶ τὴν ἀκμὴν τῆς ὀπώρας.

450. λοιπός ἐστι Προκύων, ὑπὸ τοῖς Διδύμοις κείμενος. καλεῖται δὲ οὕτως, ἐπειδὴ πρὸ τοῦ Κυνὸς ἐῴαν ποιεῖται ἀνατολὴν ἐν τῷ δι' Ἑλλάδος κλίματι, ὅτι τοῦ Κυνὸς βορειότερός ἐστιν. ἀστέρων δέ ἐστι δέκα λαμπρῶν οὗτος, ὧν εἷς ὁμωνύμως Προκύων· οὗτος δὲ πρὸ τοῦ μεγάλου Κυνός ἐστιν. Ὠρίωνος δὲ λέγεται Κύων, ἐπειδὴ φιλοκύνηγος ἦν. διὸ καὶ ταῦτα αὐτῷ περιτέθειται τὰ σημεῖα· καὶ γὰρ Ἄρκτος συνορᾶται καὶ θηρία παρ' αὐτῷ.

451. πληρώσας τὰ περὶ τῆς ἀστροθεσίας, ἐπιφέρει λέγων ταῦτα τὰ προειρημένα θεωρήσεις τῶν ἐνιαυτῶν ἀνυομένων ἐφεξῆς κείμενα καὶ κατὰ τάξιν τὰς αὐτὰς ὥρας ἀνατέλλοντα καὶ δύνοντα· ἥ τε γὰρ Παρθένος ἀεὶ τῷ αὐτῷ καιρῷ ἀνατέλλει καὶ δύνει, καὶ ὁ Λέων ὡσαύτως, καὶ τὰ ἄλλα πάντα τὰ ἀπλανῆ. τοῦτο οὖν εἶπε διὰ τοὺς πλάνητας, ὅτι ἄτακτοι ἐκεῖνοι καὶ οὐ τὴν αὐτὴν ὡρισμένην ἔχουσι φοράν, τὰ δὲ κατὰ τάξιν κείμενά εἰσιν· οἱ γὰρ πλάνητες οὐκ ἔχουσι τάξιν τῆς θέσεως τοιαύτην, ἀλλὰ πλανώμενοι καὶ μετανάσται εἰσίν. τὸ δὲ ἐξείης παλίνωρα (452) ἀντὶ τοῦ πάλιν τὰς ὥρας ἔχοντα τὰς αὐτάς, ἢ πάλιν κατὰ τὰς ὥρας τὰς ἰδίας ἀνατέλλοντα καὶ δύνοντα, ἢ πάλιν τὴν οἰκείαν κίνησιν καὶ τάξιν διὰ τῆς τῶν αὐτῶν ὡρῶν συμπληρώσεως ἀποφαίνοντα κατὰ περίοδον χρονικήν.

προειπὼν περὶ τῶν ἀπλανῶν μεταβαίνει νῦν ἐπὶ τὸν τῶν πλανήτων λόγον. πέντε δὲ τούτους φησὶν εἶναι, δηλονότι ὑπεξαιρούμενος ἥλιον καὶ σελήνην. οὗτοι γὰρ οἱ δύο τὸ ἀνάπαλιν πορεύονται ἀπὸ Καρκίνου ἐπὶ Λέοντα καὶ ἀπὸ Λέοντος ἐπὶ Παρθένον· οἱ δὲ ἄλλοι ἀτάκτως φέρονται, ὁτὲ μὲν τοῦ ἡλίου προβαίνοντος ρκ' μοίρας, ὁτὲ δὲ ὄπισθεν ἀπομένοντος. ὁ δὲ λόγος, οἱ δὲ ἄλλοι πέντε πλάνητες ἐπιμὶξ δινεύονται, ἀντὶ τοῦ ἀναμεμιγμένως, οὐκ ὄντες ὅμοιοι τοῖς προτέροις ἀπλανέσι· διὰ δὲ τῶν ιβ' ζῳδίων πλανῶνται.

455. πάντοθεν φέρονται ἡρμοσμένην μὴ ἔχοντα τάξιν. ἔχει γὰρ ὁ οὐρανὸς ζ' ζώνας, οὐκ ἐπιψαυούσας τοῦ ζῳδιακοῦ, ὧν τὴν μὲν πρώτην ἔχει ὁ Κρόνος, τὴν δὲ δευτέραν ὁ Ζεύς, τὴν δὲ τρίτην ὁ Ἄρης, τὴν δὲ τε-

Digitized by Google

τάρτην ὁ ἥλιος, τὴν δὲ πέμπτην ἡ Ἀφροδίτη, τὴν δὲ ἕκτην ὁ Ἑρμῆς, τὴν δὲ ἑβδόμην ἡ σελήνη. ὁ μὲν δὴ ζῳδιακὸς κύκλος ἀνώτερός ἐςι πάντων, αὐτοὶ δὲ εἰς ἰδικὰς κύκλας κεῖνται. ὑποκάτω δέ εἰσι τοῦ ζῳδιακοῦ κύκλου ταπεινότεροι τῶν ἀπλανῶν· ἄλλοι δὲ ἐν ἄλλῳ ὕψει κατὰ τὸν ζωδιακὸν κύκλον πλανῶνται, ἐκτρεπόμενοι τῆς ἴσης ὁδοῦ, δι' ἧς τὸν ἥλιον ἐπινοοῦμεν φερόμενον. καὶ ὁ μὲν Κρόνος εἰς ἕκαστον ζῴδιον ποιεῖ ἐνιαυτὰς β' καὶ μῆνας ς' (μείζων γὰρ αὐτοῦ ἡ περιφορά), καὶ ἀνύει πάντα τὸν ζῳδιακὸν κύκλον δι' ἐτῶν λ', ὁ δὲ Ζεὺς δι' ἐτῶν ιβ'. ὁ δὲ Ἄρης εἰς ἕκαςον ζῴδιον ἡμέρας οδ' ποιεῖ, καὶ πάντα τὸν κύκλον ἀνύει εἰς β' ἐνιαυτὰς καὶ μῆνας ε'. ὁ δὲ ἥλιος εἰς ἕκαςον ζῴδιον ποιεῖ μῆνα, καὶ τὸν κύκλον εἰς ἐνιαυτὸν πληροῖ. ἡ δὲ Ἀφροδίτη κατὰ τινὰς μὲν ἐνιαυσιαίαν, κατὰ δὲ ἐνίας ὀκτωμηνιαίαν τὴν περίοδον ποιεῖ. ὁ δὲ Ἑρμῆς εἰς ς' μῆνας καὶ ἡμέρας ς' τὸν ἴδιον κύκλον ἀπαρτίζει. ἡ δὲ σελήνη εἰς ἕκαστον ζῴδιον δύο ἥμισυ ἡμέρας ποιεῖ, ἐπειδὴ καὶ πάντων βραχύτερός ἐςιν αὐτῆς ὁ κύκλος, ὡς καὶ τὸν πάντα ζῳδιακὸν ἀνύειν ἐνὶ μηνί. αὕτη μὲν ἡ τῶν πλανήτων διακόσμησις. αὐτὴ δὲ ἡ σελήνη καθ' ἑαυτὴν ἄφαντος ἡμῖν ἐςίν, ὑπὸ δὲ τοῦ ἡλίου φωτιζομένη φανερὰ ἡμῖν γίνεται, καὶ ὅτε μὲν αὐτῇ πλησιάζει, τότε καὶ φαίνει, ὅτε δὲ αὐτοῦ χωρίζεται, κατ' ὀλίγον ἀπολήγει, καὶ πάλιν ὅσον πλησιάζει γεννᾶται· διὸ καὶ παρὰ τοῖς τραγικοῖς Ἡλίου θυγάτηρ λέγεται, ἐπειδὴ τὸ φῶς ἐξ αὐτοῦ ἔχει.

456. ἐπειδὴ αὐτὴν τὴν διδασκαλίαν τῶν φαινομένων ἐποιήσατο ἁπάντων, καὶ ἀπὸ μὲν Βοώτου τὴν Παρθένον, ἀπὸ δὲ τῆς Ἄρκτου καὶ τοῦ Δράκοντος τὸν Ἐνγούνασι, καὶ διόλου ἀπὸ τῶν παρακειμένων καὶ προεγνωσμένων τὰ ἑξῆς ἐδίδαξε, νῦν φησὶν ὅτι περὶ τῶν πλανήτων οὐκ ἔςι τοῦτο εἰπεῖν· οὐδὲ γὰρ εἰς ἀλλήλους ἀφορῶν καὶ τοὺς πλησίον αὐτῶν ἐκείνους ἂν εὕροις ποῦ ποτὲ κεῖνται, ἐπειδὴ πάντες μεταναςαὶ καὶ οὐκ ἐν ταὐτῷ κείμενοι, ὥςε οὐκ ἂν αὐτοὺς σημειώσαιτό τις ἔκ τινος τῶν ἀπλανῶν, ὥσπερ τῇ κεφαλῇ τῆς Ἀνδρομέδας τὸν Ἵππον σημειώμεθα καὶ τοῖς ποσὶ τὸν Περσέα· οὐ γὰρ τῶν μενόντων εἰσίν, ἀλλὰ ἀντιφέρονται τῷ κόσμῳ.

458. μακροὶ δὲ καὶ πολλοὶ κυκλουμένων αὐτῶν ἐνιαυτοὶ ἔσονται, καὶ σφόδρα πολὺς ὁ τοῦ χρόνου λόγος, καὶ μακρὰ τὰ τεκμήρια ἀπόπροθεν εἰς ἓν αὐτῶν ἰόντων, ἀντὶ τοῦ διὰ μακροῦ χρόνου κατὰ τὴν περιφορὰν εἰς ταὐτὸν συνερχομένων ἐκ τοῦ διεςηκέναι αὐτὰ πάμπολυ. αἰνίττεται δὲ τὸ εἰρημένον ὑπὸ τῶν φυσικῶν φιλοσόφων καὶ μαθηματικῶν, ὧν ὁ δοκιμώτερος Πλάτων· ἐκεῖνον γὰρ εἶπον μέγαν ἐνιαυτόν, ὅταν συνέρχωνται οἱ ζ' οὗτοι ἀςέρες ἐν ἑνὶ ζῳδίῳ ὑπὸ τὴν αὐτὴν μοῖραν· τότε γὰρ συμπέρασμα τῆς οἰκουμένης γίνεται καὶ ἀπόλλυται οὗτος ὁ κόσμος συνελθόντων αὐτῶν, καὶ πάλιν κινηθέντων ἐκ τοῦ αὐτοῦ ἀνανέωσιν καὶ κτίσιν εἶναι κόσμου ἄλλου ἔφασαν. ἐψήφισαν δὲ καὶ εὗρον γίνεσθαι ἐν

Digitized by Google

μυριασι πολλῶν ἐνιαυτῶν. ὅταν ὖν ἀπὸ τῦ αὐτῦ σημείου ἐπὶ τὸ αὐτὸ σημεῖον καταντήσωσιν οἱ πάντες, ἐνιαυτός ἐςιν· ὅταν γὰρ ἀφ' ὖ τις ἄρξηται σημείυ ἢ χρόνυ, ἐπὶ τὸ αὐτὸ πάλιν ἔλθῃ, ἐνιαυτός ἐςιν.

460. οὐκέτι θαρσαλέος κείνων ἐγώ: μέχρι τύτυ ςικτέον, εἶτ' ἀπ' ἄλλης ἀρχῆς τὸ ἄρκιος εἴην ἀναγνωςέον, ἵν' ᾖ, ὐκ ἂν εὐθαρσὴς περὶ τῶν πλανήτων εἰπεῖν, ἀρκῦν δ' ἂν εἴη μοι τὸ περὶ τῶν ἀπλανῶν μάθημα. γενοίμην ὖν, φησίν, αὐτάρκης καὶ τῶν ἀπλανῶν τὰς περιτροπὰς καὶ περιφορὰς καὶ τὰ ἐν ἑκάςῳ σημεῖα εἰπεῖν. αἰτία δὲ τύτων ἡ τῶν περὶ αὐτὰ γινομένων ποικιλία, ςηριγμοί, προηγήσεις, ὑπολείψεις, ἐπιτολαὶ ἑωθιναί τε καὶ ἑσπέριοι, καὶ τὰ τύτων ἀδελφά· φαίνονται δὲ ἀνώμαλοι καὶ ταῖς χρόαις ἀνόμοιοι πρὸς ἀλλήλυς. καὶ ἴσως ὐδὲ προηκριβώσατο περὶ τύτων, ἐπεὶ ὐδὲ ῥᾴδιόν ἐςι τὸ περὶ τύτων θεῖναι εἰς ποίησιν· ἐχώρει γὰρ ἂν εἰς ἀριθμὺς καὶ μέτρα καὶ λεπτὰ καὶ μόρια. ὅτε δὲ τῶν πλανήτων ὐ δυνατόν ἐςι τὺς κύκλυς εἰπεῖν, εὔδηλον ὅτι ὐδὲ τὰ ἐν τῷ αἰθέρι σημεῖα· ὅθεν καὶ εἰκότως ἐπιτιμῶσι τῷ Ἀράτῳ ἀδυναμίαν, φήσαντι ἀδύνατον εἶναι περὶ τύτων λέγειν, ἁπαξαπλῶς προθεμένῳ περὶ τῶν φαινομένων εἰπεῖν. ἡ δὲ φράσις πέπλεκται, καὶ ἔςι κοινὸν τά τε κύκλα καὶ τὰ σημεῖα εἰπεῖν, ἵν' ᾖ τῶν μὲν πλανήτων τὰ σημεῖα καὶ τὰ κύκλα ὐ θαῤῥῶ εἰπεῖν, ἐκείνων δέ (τυτέςι τῶν ἀπλανῶν) ἄρκιός εἰμι.

462. διδάξας τὸ περὶ τῶν φαινομένων ἦλθε πάλιν ἐπὶ τὴν τῶν κύκλων διδασκαλίαν, οἵτινες αὐτοὶ μὲν καθ' αὑτὺς ἀφανεῖς εἰσὶν ἡμῖν, πλὴν τῦ γαλαξίυ, ὅτι ἐςὶ νεφελώδης, ἀπὸ τῶν ἐπιψαυόντων δὲ αὐτῶν ζῳδίων ποιεῖται τὴν κατάληψιν. ποιεῖται δὲ λόγον περὶ τῶν τεσσάρων κύκλων, τῦ θερινῦ τροπικῦ καὶ ἰσημερινῦ καὶ τῦ χειμερινῦ καὶ τῦ ζῳδιακῦ· ὗτοι γάρ εἰσι μάλιςα βιωφελεῖς· ὁ δὲ ἀρκτικὸς καὶ ἀνταρκτικὸς καὶ ὁ γαλαξίας οὐδεμίαν τροπῆς ὠφέλειαν ἔχουσι. καὶ ὁ μὲν θερινὸς τροπικός, ὅτι ἐν Καρκίνῳ γενόμενος ὁ ἥλιος ἄρχεται τὸ θέρος ποιεῖν· ὁ δὲ ἰσημερινός, ὅτι δύο γίνονται ἰσημερίαι, μία μὲν ἐαρινὴ ἐν τῷ Κριῷ Φαμενὼθ, ὅς ἐςι κατὰ Ῥωμαίους Μάρτιος, ὅτε προσθήκην λαμβάνουσιν αἱ ἡμέραι, ἑτέρα δὲ χειμερινὴ ἐν ταῖς Χηλαῖς ἐν τῷ Ζυγῷ τῷ Φαωφὶ μηνί, ὅς ἐςιν Ὀκτώβριος, ὅτε καὶ αἱ νύκτες προσθήκην λαμβάνυσιν· ὁ δὲ χειμερινός, ὅτι ἐν Αἰγοκέρωτι ἄρχεται τὸν χειμῶνα ποιεῖν· ὁ δὲ ζῳδιακός, ὅτι διαπορευόμενος τῦτον ὁ ἥλιος ἐνιαυσίως τοῦ χειμῶνός τε καὶ τοῦ θέρους αἴτιος γίνεται. τὸ δὲ ἐναλίγκια δινωτοῖσιν ἤγυν ὅμοια ὄντα περιφερέσιν, οἱονεὶ τροχοειδῆ, κυκλοτερῆ.

463. τύτων τῶν τεσσάρων κύκλων, φησί, ποθὴ γένοιτο καὶ ὠφέλεια, ποθὴ μὲν ὅτι δεῖ εἰδέναι ποῖον ἐπιψαύσας ποίαν τροπὴν ποιεῖ, ὠφέλεια δὲ ὅτι τοῖς πράγμασιν εὐκαίρως ἐπιβάλλομεν ἢ ἐν τῷ γεωργεῖν ἢ ἐν τῷ πλεῖν.

Digitized by Google

464. μέτρα ἤγουν τὰς τοῦ ἔτους τροπὰς καὶ περιόδους περισκοποῦντι ἀνυομένων τῶν ἐνιαυτῶν· ἑκάστου γὰρ τροπὴ ἡ περίοδος.

465. ἐπειδὴ οὗτοι καθ' ἑαυτοὺς ἀόρατοί εἰσι καὶ οὐ καταλαμβάνονται, διὰ τοῦτό φησιν ὅτι σημεῖα ἑκάστου ἐπιῤῥήδην καὶ δυνάμενα ληφθῆναι ἐκ τοῦ σύνεγγυς καὶ πανταχόθεν συνημμένα κεῖνται. ἐρεῖ δὲ τὰ σημεῖα κατωτέρω. λέγει δὲ σήματα αὐτοὺς τοὺς ἀστέρας τῶν κύκλων, δι' ὧν γράφονται σαφῶς, ὧν τὰ μὲν περὶ αὐτούς, τὰ δὲ ἐπ' αὐτῶν, τὰ δὲ σύνεγγυς. συνεεργμένα δὲ (466) ἀντὶ τοῦ συνηρμοσμένα.

467. αὐτοὶ δὲ οἱ κύκλοι ἀπλανεῖς καὶ πάντες ἡρμοσμένοι ἀλλήλοις εἰσίν, εἴγε καὶ παραλλήλους αὐτοὺς εἰρήκασιν εἶναι. ἀρηρότες οὖν ἤγουν ἡρμοσμένοι ἀλλήλοις κατὰ τὸ μέγεθος. πλὴν οὐχ οἱ πάντες ἴσοι εἰσίν, ἀλλ' ὁ μὲν ἰσημερινὸς τῷ ζῳδιακῷ (οὗτοι γὰρ μεσάζουσι τὴν σφαῖραν), ὁ δὲ θερινὸς τροπικὸς τῷ χειμερινῷ. καὶ ὅτι τοῦτό ἐστιν, ἐπιφέρει καὶ αὐτὸς ἀτὰρ μέτρῳ γε δύω δυσὶν ἀντιφέρονται (468). τινὲς δὲ οὕτως ἤκουσαν τὸ ἀντιφέρονται, ἀντὶ τοῦ ἐναντιοῦνται· καὶ γὰρ ἀντιφερίζειν τὸ ἐναντιοῦσθαι, ἵν' οὕτως ἀκούωμεν, ὅτι ὁ ζῳδιακὸς καὶ ὁ θερινὸς ἐναντίοι εἰσίν· ὁ μὲν γὰρ ζῳδιακὸς μείζων, ὁ δὲ ἐλάσσων· καὶ πάλιν ὁ μὲν ἰσημερινὸς μείζων, ὁ δὲ χειμερινὸς ἐλάσσων. ἢ δύω δυσὶν ἀντιφέρονται τῷ μεγέθει, κατὰ δὲ δυάδα ἀναλογοῦσιν ἀλλήλοις ἡρμοσμένοι. τούτων οἱ μὲν τροπικοὶ κατὰ τὰς ἐπαφὰς συνέχουσι τὸν ζῳδιακόν, ὁ δὲ ἰσημερινὸς κατὰ τομὰς συνδέδεται τῷ ζῳδιακῷ. τὸ δὲ ἀπλανέες νοητῶς· διὸ καὶ σημείων τινῶν ἐδεήθημεν κατὰ ἐπίγνωσιν, τῶν τόπων αὐτῶν οὐ δυναμένων τῇ ὄψει ληφθῆναι καθάπερ ὁ γάλακτος τόπος, ὃς καλεῖται Γαλαξίας.

469. εἴ ποτέ σοι ἀνεφέλου νυκτὸς οὔσης (τότε γὰρ τοὺς ἑαυτῆς ἀστέρας ἀκριβέστερον ἐπιδείκνυται ἡ νύξ, καὶ οὐδεὶς τῶν ἀστέρων ἀδρανὴς κατὰ τὸ φῶς ἐκ τῆς σελήνης, ἀλλὰ πᾶς φαίνεται), εἴ ποτε οὖν σοι τὸ τηνικαῦτα ἔκπληξις ἦλθε καὶ θαυμασμὸς κατανοήσαντι τὸν οὐρανὸν πανταχόθεν ἡπλωμένον σφαιροειδῶς καὶ περιφερῶς, ἢ καὶ ἄλλος τις παρεστηκὼς ἔδειξεν ἐκεῖνο τὸ περίβλεπτον ὅπερ καλοῦσί γάλα (λέγει δὲ τὸν γαλαξίαν κύκλον· οὗτος γὰρ μόνος τῶν ἄλλων ὄψει καταληπτὸς διὰ τὴν ἐν αὐτῷ ὥσπερ νεφελώδη πίλησιν), ἴσθι ὅτι τούτῳ τῷ γαλαξίᾳ ὁμόχρους ἄλλος οὐδεὶς κύκλος ἐστί. τὸ οὖν ὅτε πάντας ἀγαυούς, ἤτοι ὅτε τὰ οὐράνια ὁρῶνται, ἢ ἐφ' ᾗ μάλιστα ἐμφανὴς ὁ οὐρανός, ἢ τάχα κατὰ τὸ μεσονύκτιον· τότε γὰρ ἀκριβοῦνται μάλιστα τὰ ἄστρα ὀξέα φαινόμενα. τὸ δὲ ἀδρανέων (471) ἤγουν ἐκ τοῦ φωτὸς τοῦ ἡλίου ἀδρανιζόμενος. τὸ δὲ διχόμηνι γράφεται καὶ νεόμηνι, ἤγουν τῇ νεωστὶ καὶ πρῶτον ἐκ συνόδου φαινομένῃ, ἐπειδὴ τότε ἐμφανῆ εἰσὶ τὰ ἄστρα, μὴ καταυγαζόμενα ὑπὸ τοῦ σεληνιακοῦ φωτός, πάντῃ γε κεκασμένα (474). εἰ τοίνυν ἀσελήνου νυκτὸς οὔσης θελήσεις τὸν γαλαξίαν σκέψασθαι, ᾧ πᾶς διχοτομεῖται οὐρανός (ἔστι γὰρ τῶν μεγίστων κύκλων), φανήσεταί σοι ὅμοιος

γάλακτι. ἔστι γὰρ οὗτος λευκός, λοξούμενος διὰ τῶν τροπικῶν· καὶ μικρὸν ὑπερπίπτων αὐτοὺς τέμνει τὸν ζῳδιακὸν κύκλον κατὰ Διδύμους καὶ Τοξότην. εἴρηται δὲ οὕτω διὰ τὸ λευκαῖς νεφέλαις σημαίνεσθαι τὴν περιγραφὴν αὐτοῦ. Ἐρατοσθένης δέ φησι, μυθικῶς αὐτὸν διηγούμενος, ὑπὸ τοῦ τῆς Ἥρας γάλακτος γεγενῆσθαι ἐκχυθέντος· ἤκουσε γὰρ παρὰ τοῦ Ἑρμοῦ ὅτι οὐκ ἴδιός ἐστι. θεάσῃ οὖν ἐκεῖνο τὸ περιγληνές, τὸ καλούμενον Γάλα, ὅπερ κύκλῳ τὸν οὐρανὸν περιλαμβάνει. καὶ γὰρ τοῦ ζῳδιακοῦ μᾶλλον περιείλαβε τὸν οὐρανόν· ὁ μὲν γὰρ ζῳδιακὸς μέχρι τῶν τροπικῶν κάτεισιν, ὁ δὲ καὶ τῶν λοιπῶν σχεδὸν ἐπιψαύει.

477. νοοῦνται μὲν καὶ ἄλλοι κύκλοι ἄπειροι, ὑφ' ἑκάστου τῶν ἀστέρων τῇ περιφορᾷ γραφόμενοι, παράλληλοι περὶ τοὺς αὐτοὺς τῷ κόσμῳ πόλους κείμενοι· ἄπειροι δὲ καὶ οἱ διὰ τῶν πόλων ὄρθιοι πρὸς τοὺς παραλλήλους, καλούμενοι κόλουροι. ἄπειροι δὲ καὶ οἱ μήτε παράλληλοι μήτε διὰ τῶν πόλων, ἀλλὰ λοξοί, πεπαρμένοι δὲ ἐν τοῖς ἀπείροις. κόλουροι δέ, ὅτι μέρος αὐτῶν ἀφαιρεῖται καὶ ἔστιν ὑπὸ γῆν. ὁ δὲ Ἄρατος τούτων οὐκ ἐμνήσθη οὐδενός. ὁ δὲ νοῦς, τούτῳ δὴ τῷ γαλαξίᾳ οὐδεὶς τῶν ἄλλων ἐστὶ τὴν χροιὰν ὅμοιος· διὸ καὶ οἱ ἄλλοι ἀφανεῖς, αὐτὸς δὲ φανερός ἐστι. τὸ δὲ δινεῖται (478) συμπεριφέρεται τῷ οὐρανῷ. τῷ δὴ γαλαξίᾳ οἱ δύο τῶν εἰρημένων τεσσάρων ἰσόμοιροί εἰσιν, ὅ τε ζῳδιακὸς καὶ ὁ ἰσημερινός· καὶ γὰρ καὶ οὗτοι μέγιστοι· οἱ δὲ λοιποὶ τούτου μείονες, ὅ τε χειμερινὸς καὶ θερινὸς τροπικός.

480. λοιπὸν ἑξῆς διδασκαλίαν ποιεῖται ἀκολούθως πάλιν ἀπὸ τοῦ βορείου κύκλου, καί φησιν, ὁ μὲν θερινὸς πλησίον ἐστὶ τοῦ βορέου, ὡς καὶ ἐν ἄλλοις (241) εἶπε "νέον κατιόντος ἀκούει."

481. λοιπὸν ἀπὸ τῶν ἐπικειμένων ἄστρων τὴν κατάθεσιν ποιεῖται. ἄρχεται δὲ ἀπὸ τῶν Διδύμων, ὧν ἐν ταῖς κεφαλαῖς ἐστὶν ὁ κύκλος. ἐν αὐτῷ δὴ καὶ τοῦ Ἡνιόχου τὰ γόνατα. ἀρηρότος δὲ ἤγουν συνηρμοσμένου καὶ συμπεφυκότος τῷ Ταύρῳ.

483. ἡ δὲ τοῦ Περσέως ἀριστερὰ κνήμη καὶ αὐτὸς ὁ ἀριστερὸς ὦμος ἐπίκειται τῷ κύκλῳ.

484. τὴν δεξιάν, φησί, τῆς Ἀνδρομέδας κατὰ τὸ μέσον ἐπέχει ὁ κύκλος, ὀλίγον ἀνώτερον τοῦ ἀγκῶνος. εἶτα ἐπειδὴ τὸ λέγειν ἀνωτάτω τοῦ ἀγκῶνος ἀσαφὲς ἦν, πότερον ὡς ἐπὶ τὸν καρπὸν ἢ ἐπὶ τὸν ὦμον, αὐτὸς αὐτό φησι· τὸ μὲν θέναρ καὶ τὸ τῆς χειρὸς κοίλωμα ἐν ὕψει κεῖται πλησίον τοῦ βορέου, αὐτὸς δὲ ὁ ἀγκὼν νοτιώτερος.

487. αἱ δὲ τοῦ Ἵππου ὁπλαὶ καὶ ὁ τοῦ Ὄρνιθος αὐχὴν σὺν αὐτῇ τῇ ἄκρᾳ κεφαλῇ καὶ οἱ λαμπροὶ τοῦ Ὀφιούχου ὦμοι περὶ τὸν κύκλον κινοῦνται, περιλαθέντες καὶ ἐγκείμενοι.

490. σημειοῦται, καὶ φησίν, ἡ δὲ Παρθένος ὀλίγον εἰς τὸ νοτιώτερον τοῦ κύκλου φέρεται, καὶ οὐκ ἐπιψαύει αὐτοῦ, ἀλλ' ὁ Λέων καὶ ὁ Καρκίνος ἐπιψαύουσιν αὐτοῦ. ὁ γὰρ κύκλος τὸν μὲν Λέοντα ὑπὸ τὸ στῆθος

καὶ τὴν γαςέρα μέχρι τῶν αἰδοίων τέμνει· τὸν δὲ Καρκίνον διόλυ τέμνει ἄχρι τῦ νωτιαίυ ὀςράκυ. ὑπὸ γὰρ τὰ ζῴδιά ἐςιν ὁ κύκλος· αὐτὰ γὰρ ὑπέρκειται ὕπερθεν.

495. ἧχι μάλιςα: ὅπου μάλιστα (ἐν τούτῳ τῷ ζῳδίῳ) γνωρίσῃ καὶ διχῶς τεμνόμενον θεωρήσεις τὸν Καρκίνον ὀρθῶς καὶ σφόδρα καλῶς. ἄλλως. ὕτως ὀρθῶς καὶ θαυμαςῶς αὐτὸν διχῶς τέμνει, ὡς καὶ διὰ μέσυ τῶν ὀφθαλμῶν εἶναι τὸν κύκλον, καὶ τὸν μὲν τῶν ὀφθαλμῶν ὡς ἐπὶ τὰ βόρεια εἶναι, τὸν δὲ ὡς ἐπὶ τὰ νότια· οὕτως ἀκρίβειά ἐστι τοῦ διχοτομήματος.

497. τύτυ, φησί, τῦ κύκλυ (ὐκ εἶπε τῆς καταλήψεως) τὰ ιβ΄ ζῴδια ἢ σημεῖα εἰς η΄ μετρηθέντα καὶ μερισθέντα· τὰ μὲν ε΄ μέρη ὑπέργεια εὑρεθήσεται καὶ ἐν ὕψει κινύμενα, τὰ δὲ γ΄ ἐν δύσει καὶ ὑπόγεια. ἐν δὲ τύτῳ τῷ κύκλῳ τροπαὶ θεριναὶ γίνονται· ἐκ δὲ τούτου τοῦ μέτρου ἔςιν ὕτω συνιδεῖν. θῶμεν τὰς τῦ νυχθημέρυ ὥρας, αἵ εἰσιν κδ΄. ἢν ὖν τῶν η΄ μερῶν αὐτῦ τὰ ε΄ διηνεκῶς ὑπέργεια, τὰ δὲ γ΄ ὑπόγεια. ἀριθμήσωμεν ἕκαςον μέρος εἰς τρεῖς ὥρας συμπληρύμενον, οὕτως, τρὶς ε΄ ιε΄, ὥςε εἶναι τὴν θερινὴν ἡμέραν ὡρῶν ιε΄. πάλιν τὰ ὑπόγεια μοίρας ἔχοντα τρεῖς ὕτω, τρὶς γ΄ θ΄, καὶ ἔςιν ἡ θερινὴ νὺξ ὡρῶν θ΄. τὸ δὲ ἀνάπαλιν ἐπὶ τῦ χειμωνος τὴν μὲν ἡμέραν ὡρῶν θ΄, τὴν δὲ νύκτα ιε΄ συμβαίνει γίνεσθαι. ἐν δὲ τοῖς ἄλλοις τόποις τοῖς ἀρκτικωτέροις ἥ τε θερινὴ ἡμέρα καὶ ἡ χειμερινὴ νὺξ πλειόνων εἰσὶν ὡρῶν ἢ ιε΄ διὰ τὸ καὶ πλείους μοίρας τῶν ε΄ ὑπεργείους εἶναι· ὅθεν εἰ καὶ ἕκαςον ζῴδιον β΄ ὥρας ἐπέχει καὶ ἥ τε χειμερινὴ νὺξ ἥ τε θερινὴ ἡμέρα δωδεκάωρος ὀφείλει εἶναι, ὅμως διὰ τὰς διαφόρυς περιφορὰς ἀλλαχῦ μὲν μείζων ἀλλαχοῦ δὲ ἐλάττων γίνεται.

498. πρὸς τὸ κλίμα τῦ Ἑλλησπόντου καὶ Μακεδονίας δοκεῖ τὴν τῶν φαινομένων πραγματείαν συνθεῖναι, καὶ ἔςι πιθανὸν ἐκεῖσε διατρίβειν ἔνθα καὶ τὺς λόγυς ἐποίησεν. ἀντιπίπτει δὲ τὸ ῥηθὲν αὐτῷ (61) κείνυ πυ κεφαλὴ τῇ νίσσεται ἧχί περ ἄκραι, τυτέςιν ἐπὶ τῦ ἀρκτικῦ φέρεται κύκλυ, καθ᾽ ὃ κλίμα ἡ μεγίςη ἡμέρα ὡρῶν ἰσημερινῶν ιδ΄ καὶ τριῶν πεμπτημορίων ὥρας, τυτέςι καθὸ τὰς Ἀθήνας καὶ τὴν Ἔφεσον κεῖσθαί φασι, καὶ ὁ πόλος ἐξήρτηται μοίρας μζ΄. τὸ δὲ ἔνδια ἡμερινά, ὑψηλὰ ὑπὲρ γῆν, παρὰ τὸν ἔνδιον καιρὸν τὸν μεσημβρινόν· εἶγε καὶ ἡ μεσημβρία μεσαίτατόν ἐςι πάσης τῆς σφαίρας.

499. ἐν τῷ θερινῷ κύκλῳ τροπαί εἰσι τοῦ ἡλίου κατὰ λόγον· αἱ γὰρ θεριναὶ τροπαὶ ἐν τῷ Καρκίνῳ γίνονται ὀγδόην μοῖραν αὐτῦ τῦ ἡλίυ ἐπέχοντος, ὃ δὴ ζῴδιον ἐν τύτῳ τῷ κύκλῳ ἐςί. μετὰ ὖν τὴν ὀγδόην μοῖραν τῦ Καρκίνυ ταπεινότερος ὁ ἥλιος πρὸς ἀναλογίαν ἄρχεται γίνεσθαι, καὶ διὰ τῦτο ὐκέτι ἐπιδίδωσιν ἡ ἡμέρα ἀλλ᾽ ὑφαιρεῖται. μαρτυρεῖ δὲ τῷ λόγῳ τύτῳ ἡ διὰ τῶν ὡρολογίων ἐνάργεια· ἡ γὰρ σκιὰ τῦ γνώμονος μετὰ τὸ παραλλάξαι τὸν ἥλιον τὴν ὀγδόην μοῖραν τῦ Καρ-

Digitized by Google

κίνου ἐκέι ἐπεκτείνεται ἀλλ' ἀνασπᾶται. τὸ δὲ ἐντροπαί, τουτέςιν ἐν τῷ ζῳδίῳ τούτῳ τὸ τέλος τοῦ αὐτοῦ ὕψους καταλιμπάνει καὶ τὴν ἐπὶ τὸ νοτιώτερον τροπὴν ποιεῖται.

500. οὗτος μὲν οὖν, φησίν, ὁ κύκλος, ὡς εἴρηται, ἐπὶ τὸν Καρκίνον ἐςήρικται· ἐν γὰρ τούτῳ ὁ ἥλιος ὑψούμενος ποιεῖ τὴν θερινὴν τροπικὴν ὥραν.

501. περὶ τοῦ χειμερινοῦ τροπικοῦ διαλαμβάνει, καὶ φησίν, ἄλλος δὲ κύκλος ἐν τῷ νότῳ ἀντιόωντι ἤγουν τῷ ἐξ ἐναντίας τοῦ βορέω, ὅς τέμνει τὸν Αἰγόκερων· ἐν τούτῳ γὰρ τῷ ζῳδίῳ τροπαὶ χειμεριναὶ γίνονται. τινὲς δὲ ἀντιόωντι νότον ἀμαθῶς ἔγραψαν, οὖν ἢ μεταλαμβάνοντι τῶν τοῦ νότου πνευμάτων. Ὅμηρος "καὶ ἐμὸν λέχος ἀντιόωσαν." οὐκ ἔςι δέ, ἀλλ' ἐπειδὴ ἐν τοῖς ἄνω πλησίον βορέου εἶπε, λέγει καὶ νῦν ἐν τῷ νότῳ τῷ ἐναντίαν θέσιν ἔχοντι βορέω. διὰ δὲ τούτου δηλοῦται ὅτι ὁ χειμερινὸς τροπικός, νοτιωτέραν ἔχων τὴν θέσιν, ἐναντίος ἐςὶ τῷ θερινῷ τροπικῷ, καὶ περιγράφει τὸν Αἰγόκερων. λοιπὸν δὲ ἀπὸ τῶν ἐπιψαυόντων δίδωσιν αὐτοῦ τὴν κατάληψιν.

503. οὐ μάλα πολλὴν αἴνυται ἤγουν μερίδα τοῦ σώματος λαμβάνει· αἴνυσθαι γὰρ τὸ λαμβάνειν. ἀλλ' ὀλίγην μερίδα ἐπέχει τοῦ σώματος τοῦ Κυνὸς ἄχρι τῶν ἐμπροσθίων ποδῶν. τοσαύτην οὖν αἴνυται μερίδα ὅσην οἱ ἄκροι οὗτοι πόδες τοῦ Κυνὸς ψαύουσιν.

505. αἱ φρένες ἐν τῷ ςήθει παράκεινται. μετάφρενον γὰρ τὸ μετὰ τὴν φρένα ἤγουν τὸ ὄπισθεν τῆς φρενός, τουτέςι τὸ δίμοιρον τῆς ῥάχεως.

507. τοῦ Τοξότου οὐκ ἔςι νοτιώτερος ἄλλος. τοῦτο οὖν φησίν, ὅτι εἰς τὸν Τοξότην πύματον καὶ ἔσχατον φέρεται ὁ ἥλιος, ὡς ἐπὶ τὸν νότον κατιὼν ἀπὸ τοῦ καθαροῦ βορέου, κἀκεῖνον διελθὼν ὡς ἐπὶ τὰ βόρεια ἔρχεται ἄνω ἀπὸ τοῦ Αἰγοκέρωτος. τὸ δὲ καθαροῖο, ὅτι αἰθρηγενέτης ὁ βορέας.

508. ἐν αὐτῷ δὲ τῷ Τοξότῃ ἐν τοῖς τελευταίοις χειμερινὸς τρέπεται ὁ ἥλιος, ἀπὸ τοῦ Τοξότου τελευτῶν, καὶ ἄρχεσθαι μέλλων τῷ Αἰγοκέρωτι.

509. ἴσοι οὖν οὗτοι κατὰ τὸ μέγεθος, ὁ χειμερινὸς τροπικὸς καὶ ὁ θερινός. ὅμως ἐναντίον τι πέπονθεν ὁ χειμερινὸς τῷ θερινῷ κατὰ τὴν θέσιν· γ' μὲν γὰρ αὐτοῦ διαςήματα ὑπέργεια, τὰ δὲ ε' ὑπόγεια. διὰ τοῦτο καὶ ὁ ἥλιος Αἰγοκέρωτος ἐπέχων μοῖραν ὀγδόην θ' μὲν ὡρῶν τὴν ἡμέραν ποιεῖ, ιε' δὲ τὴν νύκτα. κατὰ γὰρ τὴν χειμερινὴν τροπὴν τὰ μὲν ε' ὑπὸ γῆν, τὰ δὲ γ' ὑπὲρ γῆν.

511. διαλαμβάνει περὶ τοῦ ἰσημερινοῦ, καὶ τούτου τὸ μέγεθος δίδωσιν ἀπὸ τοῦ ἤδη ἐγνωσμένου κύκλου τοῦ γαλαξίου. ἴσον δὲ ἀποφαίνεται εἶναι κατὰ τὸ μέγεθος τὸν ἰσημερινὸν τοῦ τε γαλαξίου καὶ τοῦ ζῳδιακοῦ· πάντες γὰρ διχῶς τέμνουσι τὴν σφαῖραν, ὁ δὲ νοῦς, ἀμφοτέρων, τοῦ τε

Digitized by Google

θερινοῦ τροπικοῦ καὶ τοῦ χειμερινοῦ, κατὰ τὸ μέσον ἐστὶν ὁ κύκλος ὅσος καὶ ὁ τοῦ γαλαξίου.

513. ἀμφότεραι δὲ αἱ ἰσημερίαι ἐν αὐτῷ γίνονται, αἱ ἡμέραι δηλαδὴ ἴσαι ταῖς νυξὶν· ἰσοῦνται γὰρ περὶ μόνας τὰς πρώτας μοίρας. δύο δὲ γίνονται ἰσημερίαι, μία μὲν ὅτε φθίνει τὸ θέρος (τῇ γὰρ κε' τοῦ Θὼθ, ὅς ἐστι κατὰ Ῥωμαίους Σεπτέμβριος, γίνεται ἐν ταῖς Χηλαῖς ἡ τροπή, καὶ ἰσημερία ἐστὶ μειουμένων τῶν ἡμερῶν), ἑτέρα δὲ κατὰ τὸν Μάρτιον, μειουμένων τῶν νυκτῶν.

515. τὴν κατάληψιν αὐτοῦ δίδωσιν ἐκ τῶν ἐπιψαυόντων αὐτοῦ ζωδίων. σημεῖον δὲ ὁ Κριὸς αὐτοῦ καὶ τὰ τοῦ Ταύρου γόνατα κεῖται. ἀλλ' ὁ μὲν Κριὸς κατὰ τὸ μῆκος καὶ διόλου ἡρμοσμένος φέρεται τῷ κύκλῳ τοῦ δὲ Ταύρου ὁπόση ἐστὶ κλάσις καὶ καμπὴ τῶν σκελῶν γίνεται. ἄλλως. ὁ μὲν Κριὸς ὅλος ἐστὶ τῷ κύκλῳ προσηρμοσμένος, ὁ δὲ Ταῦρος κατὰ μόνην τὴν τῶν σκελῶν καμπήν.

519. καμπή ἤγουν ἡ ἀπὸ τῆς κεφαλῆς πρώτη καμπή. αἰθομένης δὲ ἤγουν τῆς ἐχούσης καυσώδη ἰόν· καυστικὸς γάρ ἐστιν αὐτῆς ὁ ἰός. καὶ Εὐφορίων (fr. LIV.) "ἣ μὲν πάνθ' ὅσα που φύει εὐδείελος αἶα, ἢ φύλλον γ' ἢ ποίην, ὅττ' ἐχρίμψατο, λυθρὸν ὡς πυρὶ καρφόμενον, ψαφαρῇ ἰνδάλλεται τέφρῃ." ἢ αἰθομένης τῆς καιομένης ὑπὸ τοῦ ἡλίου· σφόδρα γὰρ καταλάμπεται ὑπὸ τὰ ζώδια ταῦτα οὖσα.

ἐν αὐτῷ τῷ ἰσημερινῷ, φησί, κύκλῳ καὶ ὁ ἐλαφρὸς Κρατήρ ἐστιν. ἐλαφρὸς δὲ ὁ ἐλαφρῶς ἐγκείμενος τῷ τῆς Ὕδρας σώματι, ἢ ὁ ἀλαμπής· ἀμυδροὺς γὰρ ἔχει τοὺς ε' ἀστέρας.

520. οὐ τοῦτό φησιν, ὅτι οὐ πολλοὶ ἀστέρες εἰσὶ τῶν Χηλῶν (εἰσὶ γάρ), ἀλλ' ὅτι οὐ πολλοὶ τῶν ἐν Χηλαῖς ἀστέρων ἐπιψαύουσι τοῦ κύκλου· αἱ γὰρ ἄκραι Χηλαὶ ἐπιψαύουσιν.

522. ἤγουν οὐκ ἀπολαμβάνει τινὰ μοῖραν τοῦ Ἀετοῦ ὁ κύκλος, ἀλλ' ἔστιν ἐγγὺς αὐτοῦ ὁ τοῦ Διὸς ἄγγελος ἀετός.

525. τοὺς μὲν οὖν γ' κύκλους, φησί, τούς τε τροπικοὺς καὶ τὸν ἰσημερινόν, ὁ ἄξων παραβολάδην κειμένους ἔχει· περιβάλλεται γὰρ αὐτοὺς καὶ περιέχεται ὑπ' αὐτῶν, διαπείρων αὐτούς· οἱ δὲ ὥσπερ ἐξορθούμενοί εἰσιν ἐπ' αὐτῷ. ἢ ὅτι τούτους τοὺς κύκλους παραβολάδην ὡσανεὶ παραβλητικῶς καὶ παραλλήλως κειμένους ὁ ἄξων ὀρθοὺς περιφέρει· διαπείρων γὰρ τοὺς πάντας, μόνους τούτους τοὺς ὀρθοὺς κύκλους παραλλήλους ἔχει ἐπικειμένους.

526. περὶ τοῦ ζῳδιακοῦ λέγει, ἐπειδὴ περὶ τῶν ἄλλων τριῶν διέλαβε. τὸ δὲ ἐσφήκωται ἀντὶ τοῦ συνέχεται· Ὅμηρος "πλοχμοί θ' οἳ χρυσῷ τε καὶ ἀργύρῳ ἐσφήκωντο." ὁ δὲ λόγος, ὁ δὲ ζῳδιακὸς ὁ τέταρτος συνέχεται ὑπ' ἀμφοτέρων, τοῦ χειμερινοῦ καὶ τοῦ θερινοῦ, λελοξωμένος· διὰ γὰρ τοῦτο ὑπὸ τῶν κύκλων συνέχεται, ἐπειδὴ λελόξωται. καὶ οἱ μὲν τροπικοὶ ἀντιπέρην καὶ ἐναντίοι ἀλλήλοις κείμενοι (ὁ μὲν γὰρ βό-



Digitized by Google

*ρειος, ὁ δὲ νότιος) ἑκατέρωθεν αὐτὸν ἔχουσι· καὶ ὁ μὲν θερινὸς τοῦ Καρκίνου ἐπιψαύει, ὁ δὲ χειμερινὸς τοῦ Αἰγοκέρωτος.*

529. *οὐκ ἂν παρὰ τῆς Ἀθηνᾶς ἀνὴρ ζωγράφος μαθὼν τορνευτὴν σφαῖραν οὕτω γράψειεν ὡς ἐστιν ἐν τῷ οὐρανῷ. λείπει ἡ ὑπό πρόθεσις, ἵν' ᾖ ὑπὸ τῶν χειρῶν τῆς Ἀθηνᾶς. τὸ δὲ* κολλήσειεν *(530) ἀντὶ τοῦ κατασκευάσειεν. οὐκ ἂν οὖν ὁ τεχνικώτατος τῆς Ἀθηνᾶς μαθητὴς ἄμεινον συνήρμοσε τοὺς κύκλους ἢ εἰσίν· ἢ οὐκ ἂν ὑπὸ τῶν χειρῶν τῆς Ἀθηνᾶς διδιδαγμένος ἀνήρ τις ἄλλως κολλήσειε κυλιομένους τοὺς κύκλους, ὡς αὐτοὶ ἐν τῷ αἰθέρι περὶ τὸν πλάγιον κύκλον τὸν ζῳδιακὸν ἀφ' ἡμέρας εἰς νύκτα κεκόλληνται. εἴη δ' ἂν τὸ* χειρῶν δεδιδαγμένος *καὶ ἑλληνισμός, ἀντὶ τοῦ κατὰ χεῖρας μαθὼν καὶ παρὰ τῆς Ἀθηνᾶς διδαχθείς. καὶ Ὅμηρος "εὖ εἰδὼς τεκτοσυνάων." οὐκ ἂν οὖν ἄλλος τις κατασκευάσειε περιφερεῖς τροχοὺς οὕτως ὡς ἔχουσιν οἱ κύκλοι. τὸ οὖν* κυλινδόμενα *(530) ἀντὶ τοῦ περιφερῆ.* τροχάλεια *ἀντὶ τοῦ τροχούς. τὸ δὲ* τοῖά τε καὶ τόσσα *(531) ἀντὶ τοῦ τηλικαῦτα καὶ τοσαῦτα κυκλοτερῆ περιέχων καὶ περιγράφων τροχάλεια. τὸ δὲ* περισφαιρηδὸν *ἤγουν περὶ τὴν σφαῖραν.* συναρηρότα *δὲ (532) συνηρμοσμένα. λέγει δὲ τοῦτο ὅτι ἀκίνητά εἰσι τὰ τροπικὰ σημεῖα.* ἐξ ἠοῦς *(533) ἐξ ἀνατολῆς,* ἐπὶ νύκτα *ἐπὶ τὴν δύσιν.* ἤματα πάντα, *ὅτι κατὰ τοὺς λόγους τῶν Ἑλλήνων ἀεικίνητός ἐστιν ὁ κόσμος.*

534. *καὶ τὰ κύκλα μὲν ταῦτα ἀνατέλλει καὶ δύνει, τὰ πάντα κείμενα παραλλήλως· μία δέ ἐστιν ἑκάστου ἄνοδος καὶ δύσις. ἕκαστος γὰρ τῶν κύκλων τὸ αὐτὸ σημεῖον ἔχει, ὅθεν ἀνατέλλει καὶ πάλιν ὅπου δύνει. τὸ δὲ* ἑξείης ἑκάτερθεν *(536) ἀντὶ τοῦ ἐξ ἑκατέρου μέρους, καὶ ἐκ δύσεως καὶ ἐξ ἀνατολῆς, ἑκάστου κύκλου ἓν σημεῖον τὸ αὐτὸ ἀνατέλλειν καὶ δύνειν νομίζεται. οἱ μὲν οὖν ἄλλοι ἐν παραλλήλῳ σχήματι κατεστηριγμένοι ἀνατέλλουσί τε καὶ δύνουσιν, ὁ μέντοι ζῳδιακὸς οὐκέτι. τὸ οὖν* μία δέ σφεων *ἔοικε πρὸς ἀντιδιαστολὴν εἰρῆσθαι τοῦ ζῳδιακοῦ, διὰ τὸ τοὺς μὲν ἄλλους ἀπὸ ἑνὸς σημείου ἀνατέλλοντας εἰς ἓν πάλιν δύνειν, τὸν δὲ ζῳδιακὸν πλάτος ἀξιόλογον ἔχειν.*

537. *ὁ ζῳδιακὸς κύκλος κατὰ τὴν ἀΐδιον τοῦ κόσμου κίνησιν, ἥ φασιν Ἕλληνες, ἀπ' ἀνατολῆς ἐπὶ τὴν ἑξῆς ἀνατολήν (ὠκεανὸς γὰρ ὁ ὁρίζων) ὅσον ἔχει διάστημα ἀπὸ Αἰγοκέρωτος ἀνατέλλοντος ἕως ἀνατέλλοντος Καρκίνου, ἀπὸ Αἰγοκέρωτος μὲν χειμερινοῦ τροπικοῦ μέχρι Καρκίνου θερινοῦ τροπικοῦ, ὑπὲρ γῆν, τοσοῦτον πάλιν ἀπὸ τοῦ Καρκίνου μέχρι τοῦ Αἰγοκέρωτος ὑπὸ γῆν διηνεκῶς γίνεται. ἴσον γὰρ αὐτοῦ τὸ ὑπὲρ τὸν ὁρίζοντα τμῆμα τῷ ὑπὸ τὸν ὁρίζοντα· ὅσον γὰρ ἡ ἀνατολὴ τῆς δύσεως ἀπέχει, τοσοῦτον ἡ δύσις τῆς ἀνατολῆς. τὸ δὲ* ὅσσον ἁπάντῃ *(539) ἤγουν ὅσον ἀπ' ἀνατολῆς ἔχει τοῦ ὁρίζοντος, τοσοῦτον καὶ ἐν τῇ δύσει ἐν τῷ καταφέρεσθαι.*

541. *ἑξάγωνόν ἐστι τοῦτο τὸ σχῆμα καὶ φυσικώτατον· καὶ γὰρ αἱ μέλισσαι φύσει ζῶσαι καὶ οὐ λόγῳ τὰς κατατρήσεις τῶν κηρίων ἑξαγώ-*

Digitized by Google

νους ποιῦσι. τὸν μὲν οὖν κόσμον σφαιρικὸν συμβέβηκεν εἶναι, τὴν δὲ γῆν κέντρον. ἀνάγκη ὖν ἐκβαλλομένας ὑπὸ τῆς ὄψεως ἐπὶ τὸν ὐρανὸν εὐθείας, βεβηκότων ἡμῶν ἐπὶ τῆς γῆς καὶ τοῦ σχήματος τυγχάνοντος σφαιροειδῦς, ἴσας πάσας εἶναι. ὅση ὖν, φησίν, ὄψεως γίνεται εὐθεῖα ἄνω βλεπόντων ἡμῶν εἰς τὸν ὐρανόν, τοσαῦται ὀφείλυσιν ἓξ νοεῖσθαι δι᾽ ὅλης τῆς περιφερείας. αὗται δὲ λαμβανόμεναι κατὰ παράλληλον σχῆμα, καὶ ἴσον ἀλλήλων ἀφεςῶσαι, δύο παραλαμβάνυσι κατὰ τὴν ἑαυτῶν μεσότητα ζῴδια· ὕτω γὰρ ἀποτελῦσι τὸ ἑξάγωνον σχῆμα. πάνυ ὖν τεχνικῶς καὶ γεωμετρικῶς διῄρηκε τὸν ζῳδιακὸν κύκλον εἰς τὰ δωδεκατημόριά· λέγει γάρ, ὅση ἡ ὁρατικὴ ὄψις ἐςί, τυτέςιν ἡ ἀκτὶς ἡ ἀφ᾽ ἡμῶν ἀφιεμένη ἐπὶ τὴν ἀνωτάτω τῦ ὐρανῦ ἐπιφάνειαν, τηλικαύτην εὐθεῖαν ἐγγράψας τῷ κύκλῳ ἑξάκις, εἶτα ἑκάςην αὐτῶν τέμνων διχῶς, εὑρήσεις ιβ′ τῶν ζῳδίων δωδεκατημόρια. εἶτα καταριθμεῖται τὰ ζῴδια. τὸ δὲ θεώρημα, ὡς ἄρα ἡ ἐκ τῦ κύκλυ τῦ κέντρυ ἴση ἐςὶ τῇ ἐγγραφομένῃ ἐν κύκλῳ ἑξαγώνυ πλευρᾷ. ἀ π ο τ έ μ ν ε τ α ι δὲ ἀντὶ τῦ περιγράφεται καὶ δεικνύει. μὴ θαυμάζωμεν δὲ εἰ ἕκαςον τῶν ζῳδίων, τηλικῦτον ὂν κατὰ τὸ μέγεθος ὡς τὸ ἥμισυ ἐπέχειν τῦ ἀπὸ γῆς ἐπὶ τὸν ὐρανὸν διαςήματος, σμικρότατον ὁρᾶται· διὰ γὰρ τὸ πόῤῥωθεν ἡμᾶς εἶναι ἐκείνων, διὰ τῦτο ἡμῖν μικρὰ φαίνεται καίπερ ὄντα μεγάλα, ὡς ὁ ἥλιος παρὰ τοῖς μαθηματικοῖς ἐπιςεύθη τῆς γῆς ὀκτωκαιδεκαπλασίων ὤν, καὶ ἡ πᾶσα γῆ τῦ μεγέθους αὐτοῦ ὀκτωκαιδέκατόν ἐςι, καὶ ὅμως ἡ περιφέρεια αὐτῦ ὐ πάνυ δοκεῖ μεγάλη εἶναι, ἐπειδὴ σφόδρα αὐτῦ ἐσμὲν κεχωρισμένοι. οὕτω καὶ τὰ ἄστρα μεγάλα ἐστὶ σφόδρα καὶ ἐπὶ πολὺ ἐκτείνεται· ἀλλὰ τῷ χωρισμῷ ἡμῶν βραχέα φαίνεται. ὁ Σπόρος δὲ ὕτως ἐξέλαβεν· ὅσον δὲ τῆς ἀπὸ τῦ ὀφθαλμῦ βολίδος καὶ ἀκτῖνος ἀποτέμνεται καὶ ἀφαιρεῖται ἡ αὐγὴ τῦ αἰθέρος, ἑξάκις ἂν ὑποδράμοι τὸν ζῳδιακὸν ἀπηρτισμένον. ἕκαςον δὲ τῶν ἓξ εἰς β′ περιτέμοι ἂν καὶ περιλάβοι τὰ ὑποκείμενα ιβ′ ζῴδια. ἐπειδὴ γὰρ ἐν παντὶ κύκλῳ ἡ ἐκ τοῦ κέντρυ πρὸς τὴν περιφέρειαν ἀχθεῖσα εὐθεῖα ἑξάκις ὑποτείνει τὴν ὅλην περιφέρειαν, διὰ τοῦτο χρησάμενος τῷ πρὸς γῆν σημείῳ τῇ ἡμετέρᾳ ὄψει, ἥτις (ἡ γῆ) κέντρυ λόγον ἐπέχει πρὸς τὴν τῶν ἀπλανῶν ἄςρων σφαῖραν, ἡ δὲ ἡμετέρα ὄψις ὐδὲν τῦ κέντρυ τῆς σφαίρας διαφέρει κατά τε τὴν θέσιν πρὸς τὸ πᾶν καὶ ὅτι οὐδὲν διαφέρει ἀπό τε τοῦ κέντρου (τυτέςι τῆς γῆς) ὁρᾶν τὰ ὐράνια ἢ ἀπό τινος τῶν ἐπὶ τῆς ἐπιφανείας κειμένων οὕτω δὴ μικροῦ καὶ σημείου λόγον ἐπέχοντος, — χρησάμενος ὖν ὡς σημείῳ τῇ ἡμετέρᾳ ὄψει, οὕτω τὴν τοῦ ζῳδιακοῦ πεποίηται περιμέτρησιν.

544. λοιπὸν τῶν ιβ′ ζῳδίων ὀνομασίαν ποιεῖται, καὶ ἄρχεται πάλιν ἀπὸ τῦ ἐπισημοτέρυ ἐν τοῖς βορείοις, τῦ Καρκίνυ. διὰ τί δὲ ἀπὸ τῦ Καρκίνυ ἤρξατο, καὶ ταῦτα τῶν Αἰγυπτίων ἀεὶ ἀπὸ Κριῦ λαμβανόντων τὴν ἀρχήν; ὅτι εἰώθει ἀεὶ ἀπὸ τῶν βορείων ἄρχεσθαι, βορειό-

τερος δέ ἐστι πάντων ὁ Καρκίνος. οἱ δὲ Αἰγύπτιοι εἰκότως ἀπὸ τοῦ Κριοῦ ποιοῦνται τὴν ἀρχήν, πάντα τὰ ζῴδια κατὰ ἀναλογίαν λαμβάνοντες τῶν μελῶν· καὶ δὴ τὸν μὲν Κριὸν κεφαλὴν εἶναί φασιν, ἐν ᾗ τὸ ἡγεμονικόν, ἐπειδὴ ὁ Κριὸς τῶν προβάτων ἡγεμὼν καὶ πρόοδός ἐστι, καὶ ὅτι ἐν τῷ Κριῷ ὁ ἥλιος ἰσημερίαν ποιεῖται, Ταῦρον δὲ τὸν αὐχένα, ἄχρι τῶν ποδῶν, οὗ εἰσιν οἱ Ἰχθύες. πολλὰ δὲ αὐτῶν καὶ καθ' ὁμοιότητά εἰσιν· ἔνια δὲ καὶ κατὰ πάθος, ὡς Ὑδροχόος πολλῶν τὸ τηνικαῦτα καταφερομένων ὑετῶν, τοῦ ἡλίου διαβαίνοντος αὐτόν. διαφέρει δὲ ζῴδιον δωδεκατημορίου τῷ μὴ συναπαρτίζειν ἕκαστον ζῴδιον τὸ δωδέκατον τοῦ ζῳδιακοῦ, ἀλλ' ἔνια μὲν ἐλλείπειν, ὡς ἐπὶ τοῦ Κριοῦ καὶ Καρκίνου, ὅπου δὲ ὑπερβάλλειν, ὡς ἐπὶ τοῦ Σκορπίου καὶ τῆς Παρθένου.

550. ἐναντίαν τῷ παντὶ κίνησιν ποιεῖται ὁ ἥλιος, ἑκάστης ἡμέρας μίαν μοῖραν οὐχ ὅλην κινούμενος. τξε' οὖν πασῶν οὐσῶν τῶν κύκλου μοιρῶν, ἐν τξε' ἡμέραις καὶ τετάρτῳ μάλιστα μέρει τοῦ νυχθημέρου ὁ ἥλιος διανύει πάντα τὸν ἐνιαυτόν. ἐν τούτοις οὖν τοῖς ιβ' ζῳδίοις ὁ ἥλιος φέρεται τὸν ἐνιαυτὸν συντελῶν ἅπαντα· ἐν ἑκάστῳ γὰρ ζῳδίῳ ποιεῖ μῆνα καὶ ια' που ὥρας· ἐφ' ἑκάστης γὰρ μοίρας μίαν ἡμέραν καὶ μικρόν τι πρὸς ἀποτελεῖ. πορεύεται δὲ τὴν μέσην γραμμὴν τοῦ ζῳδιακοῦ, πρὸς μῆκος κινούμενος, καὶ οὐχ ὡς οἱ ἄλλοι πλάνητες πρὸς πλάτος. ποιεῖται δὲ τὴν πορείαν ἐναντίαν τῷ παντὶ κύκλῳ· ὁ μὲν γὰρ κύκλος ἀπὸ ἀνατολῶν ἐπὶ δύσεως φέρεται, ὁ δὲ ὡς ἐπὶ ἀνατολάς. τὸ δὲ Ταῦρός τ' ἐπὶ τῷ (549) ὅτι τοῦ Κριοῦ ὁ Ταῦρος βραδύτερον δύνει, ὅσῳ καὶ ἀνώτερος αὐτοῦ ἐστί, καὶ καταφερομένου τοῦ Ταύρου οἱ Δίδυμοι, καὶ ἑξῆς τὰ λοιπά. τῆς τοίνυν καταφορᾶς καὶ δύσεως τοῦ παντὸς ἀεὶ ὑψηλότερος καὶ ἀνώτερος πορεύεται ὁ ζῳδιακός, ὡς ἐπὶ τὸ φανερὸν τοῖς ἀνθρώποις.

551. τῶν γὰρ ὡρῶν τὰς μεταβολὰς ἡ τοῦ ἡλίου κίνησις ποιεῖ, ἃς ἐπικαρπίας καλεῖ διὰ τὸ μητέρας εἶναι τῶν καρπῶν· καιροὶ γὰρ καρπῶν γεννήτορες. αὔξονται δὲ διανύοντος τοῦ ἡλίου τὸν πάντα κύκλον.

553. κοῖλον ὀρθῶς ἔφη τὸν ὁρίζοντα· τῷ μὲν γὰρ ἔξωθεν νοοῦντι κυρτὸς φαίνεται, τῷ δὲ ἔνδοθεν καὶ ἀπὸ γῆς κοῖλος. ὁ δὲ νοῦς, ὅσον δ' αὐτοῦ ὑπὸ τὸν ὁρίζοντα πίπτει, τοσοῦτον καὶ ὑπὲρ γῆν ἀναφέρεται· ἀεὶ γὰρ κατὰ τὸ ἀκριβὲς ἓξ μὲν ὑπὲρ γῆν ζῴδια, ἓξ δὲ πάλιν ὑπὸ γῆν. γεωμετρικῶς οὖν καὶ ἀστρονομικῶς τοῦτο ἔφη.

555. τὰ μὲν γὰρ ζῴδια οὔτε ἐντὸς τοῦ ζῳδιακοῦ κύκλου εἰσὶν ὅλα, οὔτε ἐκπεπλήρωται λ' μοιρῶν, ἔστι δὲ ἃ καὶ ὑπερπέπτωκε· τὰ δὲ πολλὰ αὐτῶν καὶ πλάγια καταδύνει καὶ οὐκ ὀρθὰ ἀναφέρεται, ὥστε οὐκ ἄν τις ἐξ αὐτῶν λάβοι τὸ ἀκριβές. τῶν δωδεκατημορίων δὲ ἕκαστον λ' μοίρας ἔχει· κἂν γὰρ καὶ τὸν ἡλιακὸν λογίζηταί τις κύκλον, εὑρήσει μόγις ρπ' ὑπὲρ γῆς ἀεὶ καὶ διὰ παντὸς μοίρας.

556. διὰ συντομίαν εἶπε μόνα τῶν νυκτῶν τὰ διαστήματα, ἀφ' ὧν καὶ τὰ τῶν ἡμερῶν νοητέον· ὅμοιον γάρ. ὁ δὲ λόγος, ἑκάστη νὺξ

Digitized by Google

ἐπὶ τοσοῦτον μῆκος γίνεται, ἢ τοσοῦτον ἔχει διάστημα τῆς περιφερείας, ὅσον ἀπὸ νυκτὸς ἀρχομένης ἐπαίρεται καὶ περιάγεται μέρος τοῦ κύκλου τὸ ἥμισυ ἐπέχον ἓξ ζώδια. οἷον εἰ ἀρχομένης τῆς νυκτὸς ἀνατέλλει Καρκίνος περὶ πρώτην καὶ δευτέραν ὥραν, τοσοῦτον ἕξει διάστημα ἕως οὗ πάλιν ἐπὶ δύσιν ἔλθῃ· καὶ ἀνυσθέντος τοῦ ἡμικυκλίου ἀπὸ Καρκίνου ἕως Τοξότου τὸ πᾶν τῆς νυκτὸς μῆκος τελεῖται. πάλιν δὲ ἀνατέλλειν ἀπὸ Αἰγοκέρωτος ἤρχετο ἡ νύξ· κατὰ διάμετρον οὖν ἕως τῶν Διδύμων εἶχε τὴν περιφοράν. φησὶν οὖν ὅτι ἑκάστης νυκτὸς τοιοῦτόν ἐστι τὸ μῆκος οἷον ἐπαίρεται μέρος τοῦ κύκλου, λέγω δὴ τὸ ἥμισυ, ἀρχομένης αὐτῆς. καλῶς δὲ εἶπεν ὅσον ἥμισυ (557), ἐπειδὴ τὰ μὲν μεγάλην ἔχει τὴν περιφορὰν τὰ περὶ τὰ βόρεια, τὰ δὲ ἥμισυ ἐλάττονα τὰ περὶ τὰ νότια, ἐφ' ὧν τοσοῦτον ἔσται τὸ μῆκος ὅσον καὶ τὸ ἐπιφερόμενον ἡμικύκλιον.

τοσοῦτον ἐπὶ μῆκος, φησίν, ἑκάστη νὺξ ἀεὶ τείνεται, καθ' ὅσον καὶ τὸ ἡμικύκλιον. διὰ δὲ τὸ τὰς νύκτας πῇ μὲν μείζους εἶναι πῇ δ' ἐλάττους, καὶ μὴ φθάνειν τὸν κύκλον περιλαμβάνεσθαι πάντα, διὰ τοῦτο προσέθηκε τὸ ἀείρεται ὑψόθι γαίης (558) ὡς τῶν βορείων ἅτε ὑψηλοτέρων ὄντων καὶ τὸ ὅλον ἡμικύκλιον διὰ τῆς νυκτὸς περιλαμβανόντων.

559. σφόδρα φροντίζει ὁ Ἄρατος τῶν ναυτιλλομένων, καὶ διὰ πολλῶν τεκμηρίων πειρᾶται αὐτοῖς χειμαζομένοις καθ' ὅσον ἔξεστι βοηθεῖν, παρόμοιόν τι ποιῶν Ἡσιόδῳ· ὁ μὲν γὰρ σφόδρα τῶν γεωργικῶν, ὁ δὲ τῶν ναυτιλλομένων ποιεῖται ἐπιμέλειαν. οὐκ ἀδόκιμον οὖν οὐδὲ πάρεργον σημεῖον λέγει τοῖς ναυτιλλομένοις, ὅτι ἐὰν νυκτὸς συμβῇ τινὰ κινδυνεῦσαι, ἀφοράτω, καὶ μαθήσεται μετὰ πόσας ὥρας ἔσται ἡ ἡμέρα, καὶ ἐκ τούτου γινωσκέτω τί δεῖ ποιεῖν. ὁ δὲ νοῦς, οὐκ ἂν εἴη σοι ἀδόκιμον, ἐπιτηροῦντι τὴν ἡμέραν καὶ ἐκδεχομένῳ, περισκοπεῖν ἕκαστον τῶν ἄστρων, ἐπειδὰν ἀνατείλῃ· ἀλλ' ἐκ τοῦ ἐναντίου ὠφέλιμον ἂν εἴη. ἢ οὐκ ἀδόκιμον ἔσται σοι τοῦτο παρατηροῦντι σκέπτεσθαι τὰς τῶν ζῳδίων ἀνατολάς, καὶ ἐν ποίῳ τούτων ἐστὶν ὁ ἥλιος· μαθὼν γὰρ ἐν Κριῷ εἶναι αὐτὸν ἔαρος ἀρχὴν γνώσῃ, ὁμοίως καὶ ἐπὶ τῶν λοιπῶν. ταῦτα δέ τις γνοὺς, πότε δεῖ σπείρειν καὶ θερίζειν εἴσεται. ἕτεροι δὲ οὕτως ἐξέλαβον, ἐπιτήρει πότε ἡ ἡμέρα ἐστίν, ἤγουν ἐν τίνι ζῳδίῳ ἐστὶν ὁ ἥλιος· ὁ γὰρ εἰδὼς τοῦτο εἴσεται πόση τῆς νυκτός ἐστιν ἡ ὥρα, ἐκ δὲ τούτου καὶ τὴν ἀρχὴν τῶν ἀνατολῶν καὶ συγκαταδύσεων. μοίρας δὲ εἶπε νῦν τὰ ζῴδια, δι' ὧν ὁ ἥλιος φέρεται. ἐν δὲ τῷ ἤματος εἴη λείπει ἡ περί, ἵν' ᾖ, περὶ τοῦ ἤματος τῶν μοιρῶν (τουτέστι τῶν ζῳδίων) οὐκ ἀδόκιμόν ἐστιν ἐννοοῦντι καὶ θεωροῦντι σκέψασθαι καὶ διαγνῶναι πότε ἀνατέλλει ἑκάστη μοῖρα ἤγουν ἕκαστον ζῴδιον· τὰ γὰρ καθ' ἓν ζῴδιον μοῖρά ἐστι τοῦ ὅλου κύκλου. λέγονται μὲν γὰρ μοῖραι καὶ αἱ διαιρούμεναι εἰς λεπτὰ ξ, λέγεται δὲ καὶ αὐτὰ τὰ ζῴδια. νῦν οὖν τὴν ὅλην τοῦ ζῳδίου περιπόλησιν μοῖραν ὠνόμασεν.

Digitized by Google

561. τούτων γὰρ τῶν μοιρῶν (ἀντὶ τοῦ τούτων τῶν ζῳδίων) ἑνὶ ἀεὶ συνανατέλλει ὁ ἥλιος. σὺν αὐτῷ δὲ πάλιν ἐκείνῳ τῷ ἄστρῳ ἤγουν ζῳδίῳ δύνοντος τοῦ ἡλίου τὰ ἄλλα ἐκ τῆς νυκτὸς ἀπιόντα δυνατὸν περισκοπεῖν.

562. ταύτας δὴ τὰς μοίρας περισκοπέμενος ἀκριβῶς καὶ εἰς αὐτὰς ὁρῶν, ἤγουν εἰς ἓν ἕκαστον τῶν ιβ΄ ζῳδίων ἀφορῶν, πάνυ ἂν δύναιο καταλαβέσθαι αὐτάς. εἰ δὲ ἐξ ὄμβρων καλύπτονται ἢ ἐκ τῶν παρακειμένων ὀρῶν γίνονται ἀφανεῖς, κεκρυμμέναι, ἢ ἀπὸ ὄρους ἔχουσι τὰς ἀνατολάς, ὥστε συνορᾶν ἡρμοσμένα καὶ ἀσφαλῆ, πάλιν ποιῶ σοι τεκμήρια ἐν τοῖς ἐπερχομένοις, τοῖς συνανατέλλουσι τοῦ ζῳδιακοῦ, παρ᾽ ἑκάτερα, ἔν τε τῷ νοτίῳ καὶ ἐν τῷ βορείῳ, καὶ ἐν ἄλλοις ἄστροις.

566. περὶ τοῦ ὁρίζοντός φησιν, οὗ κέρατα τὴν ἀνατολὴν καὶ τὴν δύσιν λέγει· καὶ γὰρ περιφερεῖς οὖσαι ἥ τε δύσις καὶ ἡ ἀνατολὴ κέρασίν εἰσι παραπλήσιαι. ὁ δὲ νοῦς, αὐτὸς δὲ ὁ ὠκεανὸς ἐκ τοῦ ἀνατολικοῦ μέρους καὶ τοῦ δυτικοῦ τεκμήρια δίδωσιν ἔκδηλα, καθ᾽ ἑκάστην ἡμέραν ἀνατέλλοντα καὶ δύνοντα, τῶν ζῳδίων καὶ τῶν λοιπῶν· καὶ γὰρ εἴτε τῆς ἀνατολῆς ἄστρα κατέχοιτο, ἐκ τῶν δύσεων τεκμήριά σοι δίδωσιν, εἴτε τὰ ἐκ τῶν δύσεων, ἐκ τῆς ἀνατολῆς.

ἑκάτερθε: ἐξ ἀμφοτέρων τῶν μερῶν δηλαδὴ τοῦ ὁρίζοντος, ἔκ τε τοῦ ὑπὲρ γῆν ἡμισφαιρίου καὶ τῶν λοιπῶν ζῳδίων, λέγει δὲ τῶν ἄστρων. τουτέστιν ὁ ὠκεανὸς ἐξ ἀμφοτέρων τῶν ἀρκτικῶν ἄστρων παρέχει τεκμήρια δι᾽ ἄστρων, ἅπερ ἕκαστον ἐκ τούτων πολλὰ ἐπιστεφανοῦται ἑαυτῷ καὶ ἐπίκειται· σὺν ἑκάστῃ γὰρ μοίρᾳ ἕκαστον ἄστρον ἀναφέρεται. ἐν τῷ ὑπογείῳ οὖν κύκλῳ ὑποτίθεται εἶναι τὸν ἥλιον Καρκίνῳ· πρὶν δὴ ἀνέλθῃ, δεῖ σκοπεῖν τά τε ἄστρα συμβαλεῖν, ὅ τι μέλλει ἡμέρα γίνεσθαι. εἶτα μεταφέρει τὸν ἥλιον ἐπὶ τὸν Λέοντα, καί φησι, πρὶν ἀνελθεῖν τὸν Λέοντα σκόπει τὰ παρακείμενα ἄστρα, καὶ συμβαλεῖς. εἶτα ἐπάγει ἐπὶ τὴν Παρθένον τὸν ἥλιον. τὸ δὲ ὀππῆμος (568) ὑφ᾽ ἓν ἀναγνωστέον. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· αὐτὸς δέ σοι ὁ ὁρίζων κατὰ ἀνατολὴν καὶ δύσιν δείξει τὰ ζῴδια, ἃ περιστρέφει ἐν ἑαυτῷ· τὸ γὰρ περιστρέφεται ἀντὶ ἐνεργητικοῦ ἐστί. δείξει ἂν τότε ἑκάστην τῶν μοιρῶν (ἀντὶ τοῦ δωδεκατημορίων) ἀναφέρων ὁπότε ἀνατέλλουσαν παρέχεται.

569. μέλλων διεξέρχεσθαι τὸν περὶ ἀνατολῶν καὶ δύσεων λόγον καὶ συνανατελλόντων καὶ συγκαταδυόντων τὴν ἀρχὴν ἀπὸ Καρκίνου ποιεῖται, ὃν καὶ ἐν τῇ ἀρχῇ τοῦ ζῳδιακοῦ κύκλου πρῶτον ὠνόμασε· καί φησιν ὅτι Καρκίνου ἀνατέλλοντος οὐκ ἀμαυρὰ οὐδὲ ἄσημα ἄστρα συνανατέλλει αὐτῷ καὶ ἀντικαταδύνει. δύνειν δὲ τὸν Στέφανόν φησι κατὰ τὸ ἥμισυ καὶ τὸν νότιον Ἰχθὺν κατὰ ῥάχιν, κατὰ ἀνατολὰς ἐστραμμένων αὐτοῦ τῶν περὶ τὴν γαστέρα μερῶν. καὶ ἀντικαταδύνειν δέ φησι τὸν Ὀφιοῦχον ἀπὸ ποδῶν μέχρι ὤμων, καὶ τὸν Ὄφιν, ὃν ἔχει ἐν ταῖς χερσί, μέχρι τραχήλου.

572. εἰς δυσμὰς φέρεται ὡς ἐπὶ τὴν ῥάχιν ὁ νότιος Ἰχθύς· ἄνω

Digitized by Google

γὰρ νένευκε. δύεται δὲ ταῦτα ἀνατέλλοντος τοῦ Καρκίνου, πρώτῃ ἢ δευτέρᾳ ὥρᾳ τῆς νυκτός.

574. πάλιν περὶ τοῦ Στεφάνου ἀναλαμβάνει. μέλλοντος οὖν ἀνατέλλειν τοῦ Καρκίνου τὸ ἥμισυ τοῦ Στεφάνου ἴδοις ἂν ὑπέργειον· τὸ δ' ἄλλο ἥμισυ αἱ δύσεις παρέλαβον καὶ ἀφανίζουσιν, εἰς δύσιν τοῦ Στεφάνου κατιόντος. ἐσχατιὰς δὲ τὰς δύσεις φησίν, ἐπειδὴ καὶ προτέρην τὴν ἀνατολὴν λέγει.

575. ὁ νότιος Ἰχθὺς εἰς τοὐπίσω τραπεὶς καὶ οὕτως ἔχων τὴν θέσιν τὰ μὲν ὑπέρτερα (τὰ οὐραῖα) ἐν τῷ ἀφανεῖ ἔχει, τὰ δὲ ὑπὸ τὴν γαστέρα ἐν τῷ μετεώρῳ. ὅπερ βιαιόν ἐστι, τὸ ὑπέρτερα λέγειν τὰ οὐραῖα, οὗ τὸ ἐναντίον ἔδει. διό τινες ἐπὶ τοῦ Ἐγγόνασι τοῦτο μετενηνόχασι· τὰ γὰρ ὑπέρτερα αὐτοῦ ἐπὶ κεφαλὴν ἤδη δέδυκεν, ὅτε καὶ τοῦ Στεφάνου, τὰ δὲ κάτω περὶ τὴν ἐσχάτην γαστέρα ἐν τῷ μετεώρῳ ἔχει.

577. τὸν δὲ Ὀφιοῦχον ἀπὸ γονάτων μέχρι τῶν ὤμων ἐπὶ δυσμὰς ἄγει ἀνατέλλων ὁ Καρκίνος, καὶ τὸν Ὄφιν ἄχρι αὐχένος. μογερὸν δὲ αὐτὸν λέγει, ὅτι ὅλος περὶ τὸν Ὄφιν πονεῖ. τὸ δὲ αὐχένος ἐγγὺς ἤγουν μέχρις αὐχένος αὐτοῦ τοῦ Ὀφιούχου. προσλαβεῖν δὲ τοῦτο ἀναγκαῖον, ὅτι ὁ Ὀφιοῦχος ἅμα Διδύμοις ἀναφερομένοις ἄρχεται δύνειν ἀπὸ ποδῶν μέχρι γονάτων, ὥστε ἀκόλουθόν ἐστι τὸ νῦν εἰρημένον, καὶ οὕτως ἔχει ὁ λόγος, μέχρι τῶν ὤμων καταφέρεται καὶ μέχρι τοῦ αὐχένος τοῦ Ὄφεως· ὀρθοῦ γὰρ αὐτοῦ δύνοντος, μέχρι τῶν γονάτων ἀπὸ τῶν ποδῶν προκαταδέδυκεν ἤδη τῶν Διδύμων ἀναφερομένων.

579. οὐδ' ἂν ἔτ' Ἀρκτοφύλαξ: οὐ πολὺς οὐδ' ἐξ ἴσου φαίνεται ἀμφοτέρωθεν, τουτέστιν ἐκ τῶν ὑπὲρ γῆν καὶ τῶν ὑπὸ γῆν· ἀλλὰ τὸ μὲν ὀλίγον ἄνω ὑπὲρ γῆν, τὸ δὲ πλέον ὑπὸ γῆν. ἠμάτιος οὖν ὑπέργειος, ἔννυχος ὑπόγειος. οὐκ ἂν οὖν ἔτι πολὺς εἴη οὔτε ὑπὲρ γῆν οὔτε ὑπὸ γῆν ὁ Βοώτης τοῦ Καρκίνου ἤδη ἀρξαμένου ἀνατέλλειν. ἀνατείλαντος δὲ τὸ πλεῖον αὐτοῦ δεδυκός ἐστιν· ἐλάχιστον γάρ ἐστι τὸ ὑπὲρ γῆν. ἐπειδὴ γάρ φασιν αὐτὸν τέσσαρσι ζῳδίοις ἀνατέλλουσιν ἀντικαταδύεσθαι, Ταύρῳ Διδύμοις Καρκίνῳ Λέοντι, ὅταν ὁ Καρκίνος ἀνατέλλειν ἄρχηται, οὔθ' ὑπὲρ γῆν πολύς ἐστιν οὔθ' ὑπὸ γῆν· β' μὲν γὰρ αὐτοῦ παρεληλύθασιν ἤδη μοῖραι, β' δ' ἔτι λείπονται. ὅταν δὲ ἀνενεχθῇ, γ' μὲν αὐτοῦ δεδύκασι, μία δ' ἔτι ὑπολέλειπται. Ταύρου δὲ ἀνατέλλοντος αὐτὸς δύνειν ἄρχεται.

581. τοῦτο ἦν αἴτιον τοῦ ἀνατείλαντος Καρκίνου τὸ φαινόμενον ὀλίγον ἔχειν ὑπὲρ γῆν τὸν Βοώτην. μοίραις δὲ νῦν τοῖς ζῳδίοις. ὁ δὲ λόγος, τέτρασι ζῳδίοις ὁμοῦ κατιόντα τὸν Βοώτην ὑποδέχεται ὁ ὁρίζων· ὁ γὰρ Βοώτης ἐπιψαύει τῶν δύσεων μετὰ Χηλῶν, εἶτα μετὰ Σκορπίου καὶ Τοξότου· καὶ ὅτε ὁ Αἰγόκερως ἔρχεται ἐπὶ δύσιν, καὶ αὐτὸς τελείως καὶ ὁλοσχερῶς δύεται· καὶ οὕτω τεσσάρων ζῳδίων ἐπέχει χρόνον ἐν τῷ δύεσθαι. ἐπειδὴ τοίνυν τοῦ Αἰγοκέρωτος ἐλθόντος εἰς δύσιν ὁ Βοώτης τελείως δύεται, ὁ δὲ Καρκίνος τότε κατὰ διάμετρον γίνεται τοῦ Αἰγοκέ-

Digitized by Google

ρωτος, διὰ τȣ̃το φησὶν ὅτι ὁ Βοώτης τὸ τηνικαῦτα ἠμάτιος ὀλίγον αἴρεται, ἐπειδὴ ἐν τέτρασι μοίραις δέχεται αὐτὸν ὁ ὠκεανός. διηνύσθησαν δὲ λοιπὸν τȣ̃ Καρκίνȣ ἀνιόντος.

582. ὁ δὲ Βοώτης ἐπειδὰν τȣ̃ φωτὸς καὶ τȣ̃ φαίνεσθαι κορεσθῇ ὑπέργειος ὤν, πρὸς δύσιν βαδίζει. καλῶς δὲ εἶπε κορεσθῇ, ἐπειδὴ ὑπέργειος φαινόμενος πολὺν χρόνον ἀναλίσκει, τῆς μὲν ἡμέρας ὥρας ς΄, τῆς δὲ νυκτὸς πάσας τὰς ιβ΄. διὸ χαριέντως εἶπεν ἐπὴν κορέσηται, ὅτι τοσȣ̃τον χρόνον ἀναλίσκει φαινόμενος. ἀνατέλλει γὰρ τῇ Παρθένῳ περὶ ἕκτην ὥραν ἡμερινήν, ἂν καθ᾽ ὑπόθεσιν ἐν Καρκίνῳ λάβωμεν τὸν ἥλιον· β΄ γὰρ ὧραι Καρκίνȣ, Λέοντος β΄, Παρθένȣ β΄, ὥςε περὶ ἕκτην ὥραν ἀνατέλλει. ἐπεὶ τοίνυν τάς τε τῆς ἡμέρας λοιπὰς ς΄ ὥρας ἐν τῷ ὑπεργείῳ ἐστὶ καὶ τὰς τῆς νυκτὸς ιβ΄, ἕως ἂν εἰς τελείαν δύσιν ἔλθῃ (ἕως γὰρ ἂν οἱ Δίδυμοι ἀνέλθωσι, φαίνεται· ἐν δὲ τοῖς Διδύμοις τὸ τῆς νυκτὸς συμπέρασμα) — ἐπεὶ ȣ̃ν ὅλας ιη΄ ὥρας μένει φαινόμενος καὶ ὑπέργειός ἐςι, διὰ τȣ̃το εἶπεν ἐπειδὰν τȣ̃ φωτὸς κορεσθῇ. λοιπὸν πάλιν μέλλοντος Καρκίνȣ ἀνατέλλειν, ἐν τῇ δύσει τὸ πλέον ἔχει τȣ̃ σώματος.

τȣτέςιν ὅταν ἀναχωρήσῃ τȣ̃ ὑπὲρ γῆν μέρȣς καὶ πανδυσίαν ποιήσῃ, προσλαμβάνει τῷ μεσονυκτίῳ (τȣτέςι ταῖς ς΄ ὥραις τῆς νυκτός) ἄλλας ὥρας β΄, ὥςε ἐν η΄ ὅλαις ὥραις γίνεσθαι αὐτȣ̃ τὴν παντελῆ κατάδυσιν. διὸ εἶπε (585) κεῖναί τοι καὶ νύκτες ἐπ᾽ ὀψὲ δύοντι λέγονται, ἐπεὶ μακροτάτην ποιεῖται τὴν κατάδυσιν. βȣλυτὸν δὲ λέγει τὴν ἑσπέραν, καθ᾽ ἣν οἱ βόες λύονται. ἢ τὸ δίχα νυκτὸς ἴσης τȣ̃το φησί, τὸ διπλασίω τῆς νυκτὸς καιρὸν ἀνύειν πορευόμενον τȣ̃ τῆς ἡμέρας. καὶ ἀπὸ τȣ́τȣ ἐδίδαξεν ἡμᾶς ὅτι ς΄ ὥρας ποιεῖται τῆς ἡμέρας, τῆς δὲ νυκτὸς ιβ΄. φησὶν ȣ̃ν, ἐπειδὰν τȣ̃ φωτὸς κορεσθῇ, ἐν τῇ δύσει λοιπὸν ἔχει τὸ πλεῖον τȣ̃ σώματος, ἐπειδὴ ἄκρα αὐτȣ̃ ἡ κεφαλὴ ἀπολείπεται καὶ χεῖρες, τῆς νυκτὸς τὸ τηνικαῦτα διπλάσιον ἴσης τῶν ς΄ ἡμερινῶν ὡρῶν. ἢ ὅταν τὸ πλέον τȣ̃ ἡμίσεος τῆς νυκτὸς παρέλθῃ, εἰς δύο αὐτῆς τεμνομένης, τȣ̃ Καρκίνȣ ἀνατέλλοντος, τότε ὁ Ἀρκτοφύλαξ τὸ μὲν ὑπὲρ γῆν ὀλίγον, τὸ δὲ ἐν τῷ βȣλυτῷ (τȣτέςιν ἐν τῇ δύσει καὶ ὑπὸ γῆν) πλέον ἔχει. ἐμβραδύνει δὲ καὶ ἐγχρονίζει τῷ βȣλυτῷ ἤγȣν τῇ δύσει, δῦνον πλέον τȣ̃ ἡμίσεως τῆς νυκτός, εἰς δύο αὐτῆς τεμνομένης, ὁπηνίκα τȣ̃ ἡλίȣ δύνοντος καὶ αὐτὸς δύνηται.

585. ὀψὲ δύνων ἐςὶν ὁ Βοώτης διὰ τῶν ὡρῶν τῶν δ΄ μοιρῶν, τȣτέςιν η΄ ὥρας ἐπέχει· ὃν καὶ Ὅμηρος "ὀψὲ δύνοντα Βοώτην" φησὶν ἀντὶ τȣ̃ βραδέως δυόμενον. αὗται δὲ μάλιςα αἱ περιφοραὶ ὀψὲ δύοντος ἂν κληθείησαν, ȣ̓ μόνον διὰ τὸ ἐν τῷ κάτω φέρεσθαι η΄ ὥρας ἐπέχειν, ἀλλ᾽ ὅτι καὶ η΄ ὧραι γεγόνασιν ἕως ἂν δύηται παντελῶς. αὗται δὴ ȣ̃ν αἱ νύκτες μάλιςα ἐπ᾽ ὀψὲ δύοντι ἂν κληθείησαν.

586. τȣ̃τον τὸν τρόπον οἱ προειρημένοι δύνȣσιν, ὁ Στέφανος, ὁ

Digitized by Google

Ἐγγόνασι, καὶ ὅσα προεῖπεν. εἰπὼν δὲ περὶ τῶν ἀπὸ δύσεως ιβ´ ζῳδίων σημείων, νῦν καὶ περὶ τῶν ἀπ᾽ ἀνατολῆς λέγει. ἀνατέλλει οὖν, φησίν, ὁ Ὠρίων λαμπρὸς ὢν κατὰ τὴν ζώνην καὶ τοὺς ὤμους, ἔχων δὲ καὶ ἐν τῷ ξίφει λαμπροὺς ἀστέρας, καὶ συναναφέρων Ποταμὸν κέρας ἄλλου, τουτέστι τοῦ ἀνατολικοῦ.

τὰ μὲν οὖν προειρημένα ζῴδια ἀνατέλλοντι τῷ Καρκίνῳ αὐτίκα δύνει· ὁ δὲ Ὠρίων συνανατέλλει αὐτῷ, οὐκ ἀπρεπής, ἀλλὰ καὶ τὴν ζώνην εὐδηλοτάτην ἔχων καὶ τοὺς ὤμους καὶ τὸ ξίφος. ἀνατέλλει δὲ σὺν τῷ Ἠριδανῷ ποταμῷ, καὶ ὅλος θεωρεῖται ὑπὲρ τὸν ὁρίζοντα.

590. ἀνατέλλοντος δὲ τοῦ Λέοντος, ὅσα μὲν ἀντικατέδυνε τῷ Καρκίνῳ, παντελῆ ποιεῖται τὴν κατάδυσιν, δύνει δὲ καὶ ὁ Ἀετὸς ὅλος. τοῦ δὲ Ἐγγόνασι τὰ μὲν ἄλλα μέρη δέδυκε, τὸ δὲ γόνυ τὸ λαιὸν καὶ ἡ κνήμη καὶ ὁ ποὺς ἀκμὴν εἰσὶν ὑπὸ γῆν.

594. συνανατέλλει δὲ τῷ Λέοντι ἡ κεφαλὴ τῆς Ὕδρας, ὁ Λαγωός, ὁ Προκύων, καὶ τοῦ μεγάλου Κυνὸς οἱ ἐμπρόσθιοι πόδες. τὸ δὲ χαροποὺς ἤγουν λαμπρός. καὶ ἐν τῇ ἀνατολῇ δὲ τοῦ Καρκίνου ἡ κεφαλὴ τοῦ Λαγωοῦ ἄκρως ἦν ἀνατείλασα· ἀλλ᾽ ἐπειδὴ οὐ δυνατὸν ἦν ἄκρας μόνης κεφαλῆς μνημονεῦσαι οὕτω μικροῦ ἄστρου, ὅτε σὺν τῷ Λέοντι πᾶς ἀνῆλθεν, εἶπε καὶ ἐμνημόνευσεν.

596. περὶ τῆς τοῦ Λέοντος φαύσεως ἱκανῶς εἰπὼν λοιπὸν καὶ περὶ τῆς ἀνατολῆς τῆς Παρθένου τεκμήρια δίδωσιν. ἡ δὲ Παρθένος ἀνατέλλουσα οὐκ ὀλίγους ἀστέρας ὑπὸ τὸν ὁρίζοντα βάλλει, ἀλλὰ πολλοὺς εἰς δύσιν κατάγει. καὶ λέγει ποίους· ἡ γὰρ Ἀρκαδικὴ τοῦ Ἑρμοῦ Λύρα καὶ ὁ Δελφὶς καὶ ὁ ὑπὸ τὸν Ἀετὸν Ὀϊστός· οὗτοι γὰρ ὑπὸ δυσμὰς φέρονται. σὺν τούτοις καὶ τοῦ Κύκνου τὰ πρῶτα πτερὰ περὶ ἄκρους τοὺς ὤμους ἄχρι καὶ τῆς οὐρᾶς δύνει. καὶ τοῦ Ἠριδανοῦ τὰ ἄκρα ἄρχεται σκιάζεσθαι· λοιπὸν γὰρ καὶ ἡ ἀρχὴ τοῦ Ἠριδανοῦ πρὸς δυσμὰς φέρεται· παρηορίας γὰρ τὰς ἄκρας φησί. καὶ τοῦ Ἵππου δὲ ἡ κεφαλὴ δύνει, ἀνατέλλει δὲ ἡ Ὕδρα ἐπὶ πλέον ἕως τοῦ Κρατῆρος. ἀναφέρονται δὲ οἱ ὀπίσθιοι πόδες τοῦ Κυνὸς καὶ ἡ πρύμνα τῆς Ἀργοῦς. ἐμφατικῶς δὲ εἶπεν ἕλκων ἐξόπιθεν πρύμναν. ἡ δὲ ἡμίτομος οὖσα καὶ μέχρι τοῦ Ὀϊστοῦ κατηστερισμένη φαίνεται, ὅταν ἀνατέλλῃ ὅλη ἡ Παρθένος.

603. ὁ δὲ Σείριος τοὺς ὀπισθίους πόδας ἀναιρεῖται ἀνατειλάντων τῶν ἐμπροσθίων. διὰ τοῦτο οὖν φησὶ φθάμενος, ὅτι τοὺς ὀπισθίους πόδας φθάνει ἀνατέλλων.

605. γαίης: λείπει ἡ ὑπὲρ πρόθεσις, ἵν᾽ ᾖ ὑπὲρ γαίης. ἡ γὰρ Ἀργὼ φέρεται ὑπέργειος, κατὰ τὸν ἱστὸν διχαζομένη· ὁ γὰρ ἱστὸς ἐπ᾽ ἄκρου ἐστὶ τοῦ διχοτομήματος, ἐπεὶ ἡμίτομός ἐστιν, ὁ δὲ ἐν τῷ μέσῳ τῆς νηός ἐστι· διὸ καὶ ὁ τόπος, ἔνθα κεῖται, μεσόδμη καλεῖται. ὁ δὲ λόγος, ἡ δὲ Ἀργὼ πᾶσα ὑπέργειος φέρεται, ἥτις κατὰ ἱστὸν ἔχει διχοτό-

Digitized by Google

μημα, ὁπήνικα πᾶσα ἡ Παρθένος ἀνατείλῃ. περαιόθεν δὲ (606) ἤγυν ἐκ τῦ ὑπὸ γῆν μέρυς ἀνέλθῃ εἰς ἀνατολήν.

607. ἱκανῶς περὶ τῶν τῆς ἀνατολῆς τῆς Παρθένου τεκμηρίων διεξελθὼν ἐπὶ τὰς Χηλὰς ἔρχεται, καὶ φησίν, ἐπερχόμεναι δὲ αἱ Χηλαὶ καὶ μέλλυσαι ἀνατέλλειν, εἰ καὶ λεπταὶ φαίνυσι καὶ εἰσὶν ἀμαυραί, ἀλλ᾽ ὖν ὐδαμῶς ἄγνωςοι καὶ ἀκατάληπτοι παρέρχονται, ἐπειδὴ μετ᾽ αὐτῶν τεκμήριον ὁ Βοώτης ἅπας ἀνατέλλει, καταλαμπόμενος ὑπὸ τῦ Ἀρκτύρυ, ὅς ἐςι μέρος αὐτῦ· κεῖται γὰρ παρὰ τὸ ἐν τοῖς μηροῖς ζῶμα.

ἀλλ᾽ οὐδὲ αἱ Χηλαὶ ἐπερχόμεναι, τουτέστιν ἀνατέλλουσαι, ἀσημείωτοί εἰσι· συνανατέλλει γὰρ αὐταῖς ὁ Βοώτης. ἀθρόος δὲ εἶπε (609) τὴν ἰδιότητα τῆς ἀνατολῆς δηλῶν, ὅτι τὰ ἐν πολλῷ χρόνῳ δύνοντα ἀθρόως ἀνατέλλει· ἐκ δὲ τῦ ἐναντίυ τὰ ταχέως δύνοντα πλείονι χρόνῳ ἀνατέλλει, ὥσπερ ὁ Ὠρίων. ἡ δὲ Ἀργὼ μετήορος ἤδη πᾶσα· μέρη γὰρ αὐτῆς συνανατέλλει τῷ Λέοντι, ὥςε ὁμῦ ταῖς Χηλαῖς πᾶσαν ἀνατεταλκέναι. τὸ δὲ ὐ μάλα πᾶσα φησίν (610), ἐπειδὴ ὐχ ὅλη κατηςέριςαι, καθὰ εἴπομεν, ἀλλ᾽ ἡμίτομος. τὸ δὲ βεβολημένος (609) ἀντὶ τῦ καταλαμβανόμενος ἢ καταλαμπόμενος τῷ Ἀρκτύρῳ.

ἐπειδὴ εἶπεν, ὅτε ἄνεισιν ὁ Λέων, ἡ κεφαλὴ τῆς Ὕδρας φαίνεται, ὅτε ἡ Παρθένος ἀνατέλλει, μέχρι τῦ Κρατῆρος, ὅτε αἱ Χηλαί, λοιπὸν ἅπαν τὸ σῶμα πλὴν μόνης τῆς ἄκρας ὐρᾶς, ἐπάγει εἰκότως ὅτι πολλή τις ἐν οὐρανῷ κειμένη. οἱ δὲ τὸ Ἀργὼ δ᾽ οὐ μάλα πᾶσα οὕτως ἤκυσαν, ὅτι ὐ τὸ τηνικαῦτα ἡ Ἀργώ ἐςι μετήορος, ἀλλὰ καὶ πρὶν τὴν πᾶσαν ἀνελθεῖν Παρθένον· ὅτε μέντοι ἡ πᾶσα ἀνέρχεται, τότε κἀκείνη καὶ ἡ Ὕδρα ὁλοσχερῶς φαίνεται.

615. τῦ δὲ διὰ παντὸς γνὺξ πεπτηῶτος (λέγει δὲ τῦ Ἐνγόνασιν) αἱ Χηλαὶ ἀνιῦσαι μόνην τὴν δεξιτερὴν κνήμην μέχρι τῆς ἐπιγυνίδος ἄγυσι. τὸ δὲ αἰεὶ Λύρῃ πρὸς τὴν διδασκαλίαν ἐςὶ τῆς θέσεως· πλησίον γάρ ἐςι τῆς Λύρας, καὶ ἔοικεν ὀκλάζοντι πλησίον αὐτῆς. καὶ ἐν τοῖς πρώτοις δὲ (272) εἶπεν "γόνατί οἱ σκαιῷ πελάει."

617. δύνειν φησὶ τὸν Ἐνγόνασι καὶ διὰ τῆς αὐτῆς νυκτὸς ἀνιέναι, ἐπειδὴ τῶν ἀμφιφανῶν ἄςρων ἐςίν, ὃν συμβέβηκε διὰ τῆς αὐτῆς νυκτὸς θεωρεῖσθαι καὶ ἀνατέλλοντα καὶ δύνοντα· ἀμφιφανῆ γὰρ τὰ ἐπιδέξια τῦ θερινῦ τροπικῦ, ὅσα ἀρχομένης νυκτὸς ἀνατέλλοντα φαίνεται, ὥσπερ καὶ ὁ Ἀρκτοῦρος. τὸ δὲ πολλάκις αὐτονυχεί (618) ἀντὶ τῦ κατὰ τὴν αὐτὴν νύκτα· μεταξὺ γὰρ τῦ ἀρκτικῦ κατηςέριςαι, ὃν εἴρηκεν ἀμφιφανῆ τυγχάνειν, καὶ μεταξὺ τοῦ θερινοῦ τροπικοῦ, ὃν παρέδωκε ε΄ μέρη τῶν η΄ ὑπέργεια ἔχειν καὶ γ΄ ὑπόγεια. ὅταν οὖν ὁ ἥλιος τὸν χειμερινὸν τροπικὸν διοδεύῃ, ἔχοντος αὐτῦ τῶν η΄ μερῶν τὰ ε΄ ὑπόγεια τὰ δὲ γ΄ ὑπέργεια, τῆς νυκτὸς κατ᾽ ἐκεῖνον τὸν καιρὸν ιε΄ ὡρῶν γενομένης, ὁ Ἐνγόνασι μεταξὺ τῦ θερινῦ καὶ τῦ ἀρκτικῦ κύκλυ τεταγμένος καὶ περιενηνεγμένος ἤδη διὰ τῆς ἡμέρας τὸ ὑπόγειον μέρος,

Digitized by Google

ποιεῖται τὴν δύσιν ἀπὸ πρώτης ὥρας τῆς ἡμέρας, καὶ ἀναγκαίως περὶ ὥραν ἐνάτην τῆς ἡμέρας ἀνατέλλων εὑρίσκεται σὺν ταῖς Χηλαῖς καὶ τῷ Τοξότῃ, οἷς συνανατέλλει καὶ τὸ ἥμισυ τοῦ Στεφάνου καὶ ἡ οὐρὰ τοῦ Ταύρου.

618. σὺν ταῖς Χηλαῖς, φησί, τοῦ Ἐγγούνασιν ἡ κνήμη φαίνεται μελλουσῶν ἀνιέναι τῶν Χηλῶν.

620. κείμενος, φησίν, ἐν τῇ ἀνατολῇ ἐκδέχεται τὰς τοῦ Σκορπίου ἀνατολὰς καὶ τοῦ Τοξότου· οὗτοι γὰρ τέλεον αὐτὸν ἄγουσι. ταῖς μὲν γὰρ Χηλαῖς ἡ κνήμη αὐτοῦ συναναφαίνεται, τὰ δὲ μέσα τῷ Σκορπίῳ, ἡ δὲ ἀριστερὰ χεὶρ ἅμα τῇ κεφαλῇ τοῦ Τοξότου, ὥστε τρισὶ ζῳδίοις αὐτὸν συναναφαίνεσθαι.

627. ἐν τῷ ἀνιέναι μέλλειν τὴν Παρθένον ἡ κεφαλὴ τοῦ Ἵππου εἰς δυσμὰς κατενεχθεῖσα μόνη, νῦν μελλουσῶν τῶν Χηλῶν ἀνιέναι σὺν ἡλίῳ, ἔστιν ἰδεῖν τὸν πάντα Ἵππον σὺν ἡλίῳ δύνοντα. διό φησι, τὸ τηνικαῦτα μετὰ τὴν παρελθοῦσαν ἑαυτοῦ κεφαλὴν καὶ δύσασαν ὁλοσχερῶς ὁ Ἵππος ὅλος δύεται. τὸ δὲ προτέρου (628) εἶπεν ἢ διὰ τὴν θέσιν (τοῦ γὰρ Ἵππου ἐπίπροσθέν ἐστι κατὰ τὴν θέσιν) ἢ πρὸς ἀντιδιαίρεσιν καὶ σύγκρισιν τοῦ Ἀετοῦ· βορειότερος γὰρ αὐτοῦ ὁ Κύκνος, τὰ δὲ βορειότερα καὶ ἀνώτερα, ἐπεὶ προανατέλλει τῶν νοτίων. ἄνω δὲ τὰ βόρεια, ὅτι μετεωρότερα ὡς πρὸς τὸν ὁρίζοντα.

629. δύνει δὲ ἡ τῆς Ἀνδρομέδας κεφαλή, τῶν δὲ νοτίων τὸ Κῆτος ὥσπερ ἐπ' αὐτὴν καταφέρεται, ὁ δὲ Κηφεὺς ὥσπερ ἀποσοβῶν τὸ Κῆτος φαίνεται. τοῦ μὲν οὖν Κήτους τὰ μέχρι τῆς λοφιᾶς δύνει, τοῦ δὲ Κηφέως ἡ κεφαλή.

ἐπάγει τῇ Ἀνδρομέδᾳ ὁ νότος τὸ Κῆτος· συνδυόμενον γὰρ δοκεῖ ὥσπερ ἐπ' αὐτὴν σπεύδειν. τὸ δὲ ἠερόεις ἀχλυώδης καὶ χειμερινὸς καὶ σκοτεινός· ἐν γὰρ τῷ χειμῶνι πνεῖ μᾶλλον.

630. ποιητικεύεται, καὶ φησὶν ἐκτείνειν τὸν Κηφέα τὴν χεῖρα ὥσπερ παρακελευόμενον τῇ παιδὶ ἐκκλίνειν τὸ Κῆτος, ἐπειδὴ σὺν αὐτῇ κατῆλθεν.

632. καὶ τὸ μὲν Κῆτος μέχρι ὤμων καὶ στήθους δύεται, ὁ δὲ Κηφεὺς μόνῃ τῇ κεφαλῇ· τὰ δὲ λοιπὰ αὐτοῦ ἄδυτα, ὅτι ἔνδον ἐστὶν ἐν τῷ βορείῳ.

634. ἅμα τῷ Σκορπίῳ ἀνατέλλοντι αἱ τοῦ Ποταμοῦ καμπαὶ δύνουσι καὶ ὁ Ὠρίων, ὃς κυνηγετῶν περὶ Χίον τὴν Ἄρτεμιν ἐθεάσατο καὶ τῶν πέπλων αὐτῆς ἐλάβετο. ἡ δὲ θυμωθεῖσα παραυτὰ σκορπίον ἐκ τῆς γῆς ἀνέδωκεν, ὑφ' οὗ ἐπλήγη ὁ Ὠρίων. καὶ νῦν οὖν ὡς διὰ φόβον ἀνατέλλοντος Σκορπίου ὁ Ὠρίων δύνει.

636. ὅστις (ὁ Σκορπίος) ἀνατέλλων ἐκφοβεῖ καὶ εἰς δυσμὰς ἄγει τὸν Ὠρίωνα. εἶτα ἐπάγει βιωφελῶς τὴν ἱστορίαν, δεικνὺς ὅτι δεῖ μὴ ἀσεβεῖν ἐξ ὧν ὁ Ὠρίων πέπονθεν. ἀρχόμενος δὲ τῆς ἱστορίας ἐξευμενίζεται τὴν Ἄρτεμιν, ὅτι ἄρχεται λέγειν ὡς ὑπ' ἀνθρώπου ἐβιάζετο· καὶ

Digitized by Google

ἀφοσιῦται αὐτὴν λέγων ὅτι τῶν παλαιοτέρων ἐςὶν ἡ φήμη καὶ ἐκ ἐμή. καὶ σφόδρα ἀςείως αὐτὸ πεποίηκε· βιωφελῆ γὰρ ἐκτιθέμενος τὴν ἱςορίαν, ἐξ ὧν προευμενίζεται, δεικνυσιν ὅτι ἐδὲ λόγῳ θεμιτὸν τὰ τοιαῦτα λέγειν, μήτι γε καὶ πράττειν. ἔχει δὲ ὧδε ἡ ἱςορία ἀπ' ἀρχῆς. Οἰνοπίων ὁ Διονύσε καὶ Ἀριάδνης παῖς ἐν Χίῳ τῇ νήσῳ ᾤκει, ταύτης βασιλεύων. αὕτη ἡ Χίος ἔχει πλεῖςα ἑρπετά, ὡς καὶ διὰ τὸ πολύθηρον αὐτὴν εἶναι Ὀφιῦσαν κληθῆναι. πρὸς χάριν τοίνυν Οἰνοπίωνος ἦλθεν ἀπὸ Βοιωτίας ὁ Ὠρίων, ἄριςος ὢν κυνηγός, ὅπως καθάρῃ τὴν νῆσον. ἔχων δὲ σὺν αὐτῷ τὴν Ἄρτεμιν κυνηγετῦσαν ἀκόσμως ἐβιάζετο. ἡ δὲ κολώνην τῆς νήσε ἐποίησε διαῤῥαγῆναι καὶ ἀναδοθῆναι τὸν σκορπίον, ὑφ' οὗ ὁ Ὠρίων πληγεὶς ἀπώλετο· καὶ κατηςερίσθη καὶ αὐτὸς καὶ ὁ σκορπίος. ὥσπερ δὲ καὶ ἐν ἐρανῷ δεδοικὼς αὐτὸν ὁ Ὠρίων ἀεὶ φεύγει· καὶ ὅτε ἐκεῖνος ἀνατέλλει, ὁ Ὠρίων δύνει, ὅτε δὲ δύνει ὁ Σκορπίος, ὁ Ὠρίων ἀνατέλλει. ὁ μὲν ἐν Νίκανδρος, τῆς τῶν θεῶν εὐσεβείας γινόμενος, βραχὺν τινά φησιν εἶναι τὸν σκορπίον, δεικνὺς ὅτι θεῶν βελήσει καὶ μικρὸς ὢν ἰσχύει κατὰ μειζόνων. ἐτος δὲ ὁ Ἄρατος, ἐκ τῆς ἀςροθέσεως κατανοήσας τὸ μέγεθος, φησὶν ὅτι καὶ ὅλον ὄρος ἀνέῤῥηξεν, ἵνα ἀναδοθῇ ὁ σκορπίος.

640. ἀ ρ ν ύ μ ε ν ο ς ἤγεν περιποιέμενος, ἀντικαταλλασσόμενος διὰ τὸ φονεύειν τὰ ζῶα χάριν Οἰνοπίωνος. εἰ δὲ αἰνύμενος γράφοιτο, σημαίνει τὸ λαμβάνων. ἔςι δὲ ὁ Ὠρίων κατὰ διάμετρον τῦ Σκορπίε.

641. ἡ Ἄρτεμις, φησίν, ἐ ξ α ὐ τ ῆ ς τῆς Χίου ἐ π ε τ ε ί λ α τ ο (τετέστιν ἀναδοθῆναι ἐποίησε) θ η ρ ί ο ν ἄ λ λ ο ὡς πρὸς τὰ ὄντα ἐν τῇ Χίῳ, ὧν φόνον εἰργάσατο ὁ Ὠρίων. τὸ ἐν ἐπετείνατο γράφεται καὶ ἐπετείλατο.

643. π ο λ λ ὸ ν ἐ ό ν τ α: ὅτι γὰρ σφόδρα μέγας ἦν ὁ Ὠρίων, καὶ κατὰ τὸν Ὅμηρον ἔξεςι μαθεῖν· λέγων γὰρ τὸ μέγεθος τῶν παίδων τῆς Ἰφιμεδείας ἐννεόργυιον κατὰ τὸ μῆκος ἐπιφέρει "μετά γε κλυτὸν Ὠρίωνα."

**644. τὸν Σκορπίον φησὶ πλείονα αὐτοῦ καὶ μείζονα, ςοχαζόμενος ὅτι καὶ δύο ἄςρων μῆκος ἐπέχει καὶ ἑξηκοντάμοιρός ἐςι μόνος.**

**645. καὶ αὐτὸς ἀπ' αὐτῶν τῶν λέξεων σφόδρα ὑπογράφει τὸν Ὠρίωνα δεδοικότα τὰ τῆς γῆς ἔσχατα καταλαμβάνειν ὑπερβολῇ τῦ φόβου καὶ τῆς δειλίας.**

**647. τότε καὶ τῆς Ἀνδρομέδας καὶ τῦ Κήτυς ὅσα ὑπελείπετο τῇ τῶν Χηλῶν ἀνατολῇ, καὶ ταῦτα δύνει. τῦ δὲ Κηφέως τὰ μέχρι ζώνης δέδυκε· τὰ μὲν γὰρ ἄλλα ἀπὸ τῶν ποδῶν μέχρι τῆς ἰξύος ἐν τῷ ἀεὶ φανερῷ ἐςὶ κύκλῳ, ἡ δὲ ζώνη ἅπτεται τῦ ὁρίζοντος· τῦτο γάρ ἐςι τὸ γ α ῖ α ν ἐ π ι ξ ύ ε ι (650). Ἄρκτυς δὲ εἶπε τὸν ἀρκτικὸν κύκλον.**

**649. π α ν σ υ δ ί ῃ φ ε ύ γ υ σ ι ν ἤγυν σὺν παντὶ τῷ πλήθει κατάγονται· ὁ γὰρ Ὠρίων δυόμενος ἐκ τῦ σπεύδειν καὶ δεδοικέναι τὰ προει-**

Digitized by Google

ϱημένα αὐτῷ πάντα ἄϛρα διώκει καὶ πϱοωθεῖ. διὸ εἶπε σὺν πᾶσι τοῖς μετὰ Ὠϱίωνος κατιῦσι, τῷ Δελτωτῷ, τῷ Ταύϱῳ, τῷ Κηφεῖ, τῷ Πεϱσεῖ. τὸ δὲ ἀπευθέες (648) ἄσκεπτοι καὶ παϱημελημένοι. δεῖ δὲ νοεῖν ὅτι καὶ αὐτοί, τό τε Κῆτος καὶ ἡ Ἀνδϱομέδα, καταδεδύκασιν.

653. λείπει ἡ μετά, ἵν᾽ ᾖ μετὰ τῦ εἰδώλυ τῆς θυγατϱὸς αὐτῆς φέϱεται ἡ Κασσιέπεια. οἱ δὲ πόδες αὐτῆς καὶ τὰ γόνατα ὐ κοσμίως φέϱονται ἀλλὰ ἀκόσμως· ἐπὶ κεφαλὴν γὰϱ δίκην κυβιϛητῆϱος δύεται.

657. μειϱομένη γονάτων ἤγυν ὑπὸ τῆς δύσεως μεϱιζομένη κατὰ τὰ γόνατα. ὁ γὰϱ ὁϱίζων ὐ δέχεται αὐτῆς τὰ γόνατα ὡς ἐπὶ τὰ βόϱεια ὄντα.

ἐπειδὴ ἐκείνη (ἡ Κασσιέπεια) ὐκ ἔμελλεν ἰσώσασθαι καὶ πεϱὶ κάλλυς ἐναντιωθῆναι ταῖς Νηϱηΐσιν ἄνευ μεγάλων τιμωϱιῶν καὶ ζημιῶν· διὰ γὰϱ τὴν αἰτίαν ταύτην καὶ ὁ Ποσειδῶν ἀνέπεμψε τὸ Κῆτος τῇ χώϱᾳ αὐτῆς, ὡς ἀναγκασθῆναι θοίνην αὐτῷ πϱοθεῖναι τὴν Ἀνδϱομέδαν.

659. ὕτω μὲν ὖν ἡ Κασσιέπεια ἐπὶ δυσμὰς κατάγεται (νῦν γὰϱ ἑτέϱην τὴν δύσιν φησίν), ὁ δὲ οὐϱανὸς κάτωθεν ἀπὸ τοῦ ὁϱίζοντος ἄστϱα ἄλλα ἀπὸ τῆς ἀνατολῆς φέϱει, ὡσανεὶ τὰ μὲν ἀνατέλλει τὰ δὲ δύνει.

660. δεύτεϱα κύκλα ἀντὶ τῦ δεύτεϱαι πεϱίοδοι. ἐν γὰϱ τῷ ἀνιέναι τὸν Καϱκίνον εἶπεν ὅτι ὁ Στέφανος δύεται· νῦν οὖν ἐπειδὴ ἀνῆλθεν, εἶπε δεύτεϱα κύκλα. ἢ ἐπειδὴ μελλυσῶν τῶν Χηλῶν ἀνιέναι ἡ τῦ Κενταύϱυ ὐϱὰ ἐφαίνετο, καὶ τὸ ἥμισυ αὐτῦ ἦν φανεϱόν· νῦν δὲ ὅτε ὁ Σκοϱπίος ἀνῆλθεν, ὁ πᾶς φαίνεται· διὰ τῦτο δεύτεϱα κύκλα. ἢ τῦτό φησι δύο κύκλα· ὅταν δύνῃ, εἷς κύκλος, καὶ ὅταν μέλλῃ ἀνατέλλειν, ἕτεϱος· καὶ λοιπὸν δύο εἰσὶ κύκλοι.

661. Ὕδϱης τ᾽ ἐσχατιήν: καὶ τὴν ὐϱὰν τῆς Ὕδϱας. ὅτε γὰϱ ἔμελλον αἱ Χηλαὶ ἀνιέναι, εἶπεν αὐτὴν ἀνεληλυθέναι (611)· νῦν δὲ καὶ τὰ ἔσχατα μέϱη αὐτῆς φησὶ συναναβαίνειν, καὶ τῦ Κενταύϱυ τὸ λοιπὸν σῶμα μέχϱι τῆς κεφαλῆς καὶ τῆς δεξιᾶς χειϱός, ἐν ᾗ τὸ θηϱίον κϱατεῖ. οἱ δὲ ἐμπϱόσθιοι πόδες τεκμήϱιον τῦ μέλλειν ἀνιέναι σὺν ἡλίῳ.

664. ἱππότα: παϱὰ τὸ Ὁμηϱικὸν ἔθος· τῷ γὰϱ ἱππότα ἀντὶ εὐθείας ἐχϱήσατο ὁ ποιητής, ὗτος δὲ ἀντὶ γενικῆς. φῆϱα δὲ λέγει τὸν Κένταυϱον ποιητικῶς.

665. ἐπιόντος δὲ τοῦ Τοξότυ καὶ ἀνατέλλοντος ἀνατέλλει ἡ τοῦ Ὄφεως σπεῖϱα καὶ τὸ σῶμα τῦ Ὀφιύχυ. ἀνάγει δὲ αὐτὸς τὰς τῦ Ὀφιούχου χεῖϱας καὶ τὴν πϱοτέϱαν πεϱίκλασιν καὶ καμπὴν τῦ Δϱάκοντος. τὸ δὲ πολυτειϱέος ὐ τῦ πολὺν κάματον παϱέχοντος τῷ φέϱοντι ἢ κόπον, παϱὰ τὸ τείϱειν· ὐ γὰϱ φυσικὸν τὸ ὕτως ἐξηγεῖσθαι, ἀλλὰ πολυτειϱέος τῦ πολυάϛϱυ· τῦτο γὰϱ μᾶλλον θεωϱηματικόν.

669. τῦ γε μὲν Ἐνγόνασιν: εἶτα παϱένθεσις· ἀεὶ γὰϱ ἀνατέλλει εἰς τὸ ἐναντίον πϱοτϱαπείς· οἱ γὰϱ πόδες πϱῶτοι ἀνάγονται,

Digitized by Google

ὕστερον δὲ ἡ κεφαλή. ὁ δὲ λόγος, τοῦ γε μὴν Ἐνγόνασιν ἀνατέλλει τὰ γόνατα καὶ ἡ ζώνη καὶ ὁ ὦμος σὺν τῇ δεξιᾷ χειρί. τίνος δὲ ἕνεκεν οἱ πόδες πρῶτοι ἀνατέλλουσιν, εἶπεν· ἀεὶ γὰρ περιτετραμμένος ἀνατέλλει. καὶ οὐχ ὅτι ζώνην ἔχει, ἀλλ' ἀπὸ τῆς ζώνης τὸν τόπον ἴσον ἐπιθεται. δῆλον δέ· ἐπήγαγε γὰρ *καὶ στήθεος ἄχρις* (674).

672. ἡ δὲ κεφαλὴ μετὰ χειρὸς τῆς ἑτέρας, τουτέστι τῆς ἀριστερᾶς, τῷ τόξῳ ἀνέρχονται καὶ τῷ Τοξότῃ ἀνατέλλοντι. ἢ ἡ κεφαλὴ τοῦ Ἐνγόνασι μετὰ τῆς ἀριστερᾶς χειρὸς σὺν τῷ Τοξότῃ ἀνέρχεται.

674. σὺν δὲ τοῖς προειρημένοις ἡ τοῦ Ἑρμοῦ Λύρα καὶ ὁ Κηφεὺς ἄχρι τοῦ στήθους ἐκ τοῦ ἀνατολικοῦ ὠκεανοῦ ἀναπέμπεται. καλῶς δὲ εἶπε τὸ *παρελαύνεται* (675)· ὥσπερ γὰρ παρωθεῖται, ἐπειδή ἐστι τὰ αὐτοῦ βόρεια, ἃ εἶπε μὴ δύεσθαι. διὸ καὶ ὀλίγον παντελῶς μένει χρόνον ὑπὸ τὸν ὁρίζοντα. τὸ οὖν *στήθεος ἄχρις*, διότι τὰ ἄλλα αὐτοῦ ἄδυτα, τοῦτο δὲ μόνον αὐτοῦ τὸ ἄχρι στήθους καὶ δύει καὶ ἄνεισιν.

676. τὸ τηνικαῦτα, φησί, καὶ τοῦ Σειρίου αἱ λαμπηδόνες εἰς δύσιν φέρονται, ὅτε ὁ Τοξότης ἀνατέλλει. *μεγάλοιο* δὲ εἶπεν *ἀμαρυγαὶ* διὰ τὸν Σείριον αὐτοῦ ἀστέρα. καὶ τὸ πᾶν σῶμα τοῦ Ὠρίωνος δέδυκε πλὴν τῆς δεξιᾶς χειρός. ἀνερχομένου γὰρ τοῦ Τοξότου τὰ τοῦ Ὠρίωνος πάντα δύνει πλὴν τῆς δεξιᾶς χειρός· αὕτη γὰρ μένει ὡς βορειοτέρα.

678. τοῦ παραλλήλου τοῦ αὐτοῦ εἰσὶν ὅ τε Λαγωὸς καὶ ὁ Κύων, ὥστε προανατέλλειν τε ἀεὶ τὸν Λαγωὸν καὶ προκαταδύνειν καὶ μηδέποτε ἑτέρως ἔχειν ὡς ἐν ἄλλῳ. τὸ δὲ *αὐτέλεστα*, ἐπειδὴ οὐδέποτε καταλαμβάνεται ὑπὸ τοῦ Κυνός· οὕτω γὰρ κατηστέρισται ὑπὸ τοῦ Κυνὸς διωκόμενος. ἀνατέλλοντος γὰρ αὐτοῦ αὐτίκα δύνει ὁ Κύων καὶ ὁ Ὠρίων ὅλος καὶ ὁ Λαγωός, ὃν *ἀτέλεστα διωκόμενον* εἶπε πιθανῶς πάνυ· ἀμετακίνητος γὰρ ἡ τῶν ἄστρων θέσις. δύνει δὲ καὶ τὰ λοιπὰ μέρη τοῦ σώματος τοῦ Ἡνιόχου, ἡ ἀριστερὰ χεὶρ δηλαδή, ἐφ' ἧς κατεστήρικται ἡ Αἲξ καὶ οἱ Ἔριφοι.

679. οἱ Ἔριφοι καὶ ἡ Αἲξ κατὰ τὴν χεῖρα τοῦ Ἡνιόχου σημεῖα μὲν χειμῶνος φέρουσιν, ὅτε ἑσπερίαν δύσιν ποιοῦνται· οὐ μέντοι εὐθὺς δύονται, ἀλλὰ τὰ μὲν περὶ τὴν κεφαλὴν τοῦ Ἡνιόχου καὶ τὴν χεῖρα τὴν ἑτέραν καὶ τὴν ὀσφὺν τῷ Αἰγοκέρωτι κατέρχεται, τὰ δὲ λοιπὰ τῷ Τοξότῃ ἀνατέλλοντι. ὁ μέντοι Περσεὺς ὅλος ἄνευ τοῦ γόνατος καὶ τοῦ δεξιοῦ ποδὸς δύνει, καὶ τῆς Ἀργοῦς ἡ περιφέρεια κατὰ πρύμναν. αὐτὴ δὲ ἡ Ἀργὼ ἅμα Αἰγοκέρωτι ἀνιόντι κατέρχεται, καὶ ὁ Προκύων. ἀνατέλλουσι δὲ ὅ τε Κύκνος καὶ ὁ Ἀετὸς καὶ ὁ καλούμενος Ὀϊστὸς καὶ τὸ Θυτήριον.

680. ἔχειν φησὶ τὴν χεῖρα ταύτην ἐξαίρετον διαφορὰν πρὸς τὸ λοιπὸν σῶμα τοῦ Ἡνιόχου· κατὰ γὰρ τὴν ἐῴαν ἀνατολὴν τῆς Αἰγὸς καὶ τῶν Ἐρίφων χαλεπώτατος χειμὼν γίνεται.

681. καὶ οἱ Ἔριφοι διακριτικοί εἰσιν ἀστέρες ἐν πᾶσι τοῖς τοῦ Ἡνιόχου ἀστράσιν ὡς εἶναι ἱκανοὶ πρὸς τὸ κινῆσαι χειμῶνας, ὅταν σὺν τῷ

Digitized by Google

ἡλίῳ ἴωσι καὶ πορεύωνται. δοκεῖ δὲ μὴ εἶναι ἀληθές· οὐ γὰρ γίνεται πλησίον τῆς Αἰγὸς καὶ τῶν Ἐρίφων, μᾶλλον δὲ τοῦ Ἡνιόχου, χειμὼν, ὅτε ἐν τῷ Ταύρῳ ἢ τῶν Διδύμων θατέρῳ ἐςίν. ἀλλὰ φαμὲν, ὅταν ὁ ἥλιος ᾖ ἐν τῷ Τοξότῃ κατὰ τὴν τάξιν αὐτὴν ἣν νῦν ἐξηγούμεθα, ἑῴου ἀνατέλλοντος ἐκείνου ἑῷοι αὐτοὶ δύονται καὶ χειμὼν ἄκρος ἐςίν. ἔχουσιν οὖν τινὰ πρὸς τὸν ἥλιον κοινωνίαν ἐκ τοῦ καιρȣ̃, διὰ τὸ ἑῷον, ὅτι ὁ μὲν ἀνατέλλει, οἱ δὲ δύνȣσιν.

683. ἀνελθόντος τȣ̃ Τοξότȣ ȣ̓χ ὁ πᾶς Ἡνίοχος εἰς δυσμὰς φέρεται, ἀλλ᾽ ἀπὸ ποδῶν μέχρι ἰξύος· ἀνερχομένȣ δὲ Αἰγοκέρωτος ἡ ἄλλη χεὶρ, ἐφ᾽ ἧς εἰσὶν οἱ Ἔριφοι, δύνει. λέγει δὲ τὴν ἀριςεράν· ἡ γὰρ δεξιὰ ἤδη δέδυκε. τὰ δὲ ἔσχατα μέρη τοῦ Ἡνιόχου, τὰ ἀπὸ ποδῶν ἕως ἰξύος, σὺν τῷ Τοξότῃ ἀνιόντι εἰς δυσμὰς κατάγεται.

685. μέλλοντος δὲ Αἰγοκέρωτος ἀνιέναι οὔτε ὁ Περσεὺς οὔτε τὸ ἀκροςόλιον τῆς Ἀργῴας πρύμνης ἔτι φαίνεται· ἀλλ᾽ ὁ μὲν Περσεὺς δύνει πλὴν μόνȣ τȣ̃ γόνατος καὶ τȣ̃ ποδὸς τȣ̃ δεξιȣ̃ (ταῦτα γὰρ ἔχει φαινόμενα), τῆς δὲ τοσȣ̃τον δέδυκεν ὅσον εἰς τὴν περίκλασιν καὶ καμπὴν τῆς πρύμνης.

689. αὐτὴ δὲ πᾶσα ἡ Ἀργὼ ἀνατέλλοντος Αἰγοκέρωτος κάτεισιν, ὅτε καὶ ὁ Προκύων εἰς δυσμὰς φέρεται.

693. ὁ δὲ Ἵππος τȣ̃ Ὑδροχόου ἐπιτελλομένȣ τοῖς ποσὶ καὶ τῇ κεφαλῇ ἀναδύεται καὶ ἀνατέλλει.

694. κατὰ διάμετρον δὲ τȣ̃ Ἵππȣ κατ᾽ οὐρὰν ὁ Κένταυρος δύνει. ὁ δὲ λόγος, δύνει δὲ κατ᾽ ȣ̓ρὰν καὶ ὁ Κένταυρος, οἱ μέντοι ὦμοι αὐτȣ̃ καὶ ἡ κεφαλὴ καὶ ὁ θώραξ ȣ̓ δύνανται ἅμα τῷ Ὑδροχόῳ καταφέρεσθαι. ἀποβλέπων δὲ εἰς τὴν θέσιν ποιητικεύεται, λέγων "ἔλκυσα αὐτὸν ἡ νὺξ οὐ δύναται αὐταῦ τὴν κεφαλὴν καὶ τοὺς ὤμους σὺν τῷ ςήθει χωρῆσαι καὶ λαβεῖν."

697. αἴθοπος τῆς διαπύρȣ, ὅτι ὑπὸ τὰ θερινὰ ζῴδιά ἐςι. ταύτης ȣ̓̃ν τὴν τȣ̃ αὐχένος σπείρωσιν καὶ τὰ μέτωπα καταφέρει· τὰ μέντοι πλεῖω αὐτῆς ὑπὲρ γῆν ἐςίν, ἀναφερομένων δὲ τῶν Ἰχθύων συγκαταφέρεται ἅμα Κενταύρῳ. αἴθοπα δὲ αὐτήν φησιν ἢ διὰ τὸ εἶναι πλησίον τῶν θερινῶν ζῳδίων, ὡς ἔφην, ἢ διὰ τὸ λαμπρὸν τῶν ἀςέρων αὐτῆς, ἢ διὰ τὸ δάκνον· ἐὰν γὰρ δήξῃ, ὡσανεὶ καίει.

699. εἰ καὶ τὰ πρῶτα μέρη δέδυκε τῆς Ὕδρας, ἀλλὰ καὶ ὄπισθεν πολλή τις καὶ ἐκτεταμένη φαίνεται, ἤγουν τὰ ὄπισθεν αὐτῆς μέρη. ἀλλ᾽ ὅμως καὶ αὐτὴν πᾶσαν τὴν Ὕδραν σὺν παντὶ τῷ Κενταύρῳ, ἐπειδὰν οἱ Ἰχθύες ἀνατέλλωσιν, ἀθρόως ἐμφέρεται.

701. ὁ δὲ νότιος Ἰχθὺς ἀνατελλόντων τῶν Ἰχθύων ἔρχεται καὶ φαίνεται, ὅσον ὀπίσω τȣ̃ Αἰγοκέρωτος κινεῖται νότιος. ὑποκείμενος δὲ (702) ἤγουν ὑποκάτω κείμενος τοῦ Αἰγοκέρωτος, πλὴν καὶ ὑποκάτω τῶν Ἰχθύων· δύο γὰρ ζῴδια ἐπέχει.

Digitized by Google

703. οὐ μὴν παντελῶς καὶ διόλου ἀνέρχεται ὁ Ἰχθύς· ἐκδέχεται γὰρ κατ' ὀλίγον ἄλλου ἄστρου ἀνατολήν. λέγει δὲ ὅτι αὐτῶν τῶν Ἰχθύων ἀνελθόντων οὐ πᾶς φανερὸς γίνεται. τῶν οὖν Ἰχθύων ἀναφερομένων ἀναφέρεται καὶ ὁ νότιος Ἰχθύς, ὑπὸ τῷ Αἰγοκέρωτι κείμενος, οὐχ ὅλος· μέρη γὰρ αὐτοῦ τῷ ἑξῆς δωδεκατημορίῳ συναναφέρεται τῷ Κριῷ.

704. κακοπαθοῦς φησὶ τὰς χεῖρας τῆς Ἀνδρομέδας διὰ τὰ δεσμὰ ἃ περίκειται. ὥσπερ δὲ ὁ Ἰχθὺς οὐχ ἅπας ἄνεισιν, ἀλλὰ ἄλλου ἄστρου ἐπιτολὴν προσμένει, τουτέστι τοῦ δωδεκατημορίου, οὕτω καὶ ἡ Ἀνδρομέδα. καὶ τὸ πῶς λέγει, ὅτι πάντα τὰ μέρη αὐτῆς τοῦ σώματος διχῶς ἀνέρχεται, ὥστε τὸ μὲν ἥμισυ αὐτῆς ὑπὲρ τὸν ὁρίζοντα θεωρεῖσθαι, τὸ δὲ ἥμισυ συγκαταλείπεσθαι.

707. τὰ μὲν οὖν δεξιὰ μέρη αὐτῆς τῶν Ἰχθύων ἀνατελλόντων ἀναφέρεται, τὰ δὲ ἀριστερὰ ὁ Κριὸς ἀνιὼν ἕλκει· οὗ ἀνιόντος κατὰ διάμετρον θεωρεῖσθαι ἐπὶ τῆς δύσεως τὸ Θυτήριον, τοῦ δὲ Περσέως καὶ τὴν κεφαλὴν καὶ τοὺς ὤμους ἀνατέλλοντας.

712. ἐπειδὴ πλησίον εἰσὶν ἀλλήλων τὰ ζῴδια ταῦτα, ὅ τε Κριὸς καὶ ὁ Ταῦρος, φησὶν ὅτι καὶ ἀμφίβολον ἂν γένοιτο πότερον αὐτὴ ἡ ζώνη λήγοντι τῷ Κριῷ συνανέρχεται ἢ τοῖς πρώτοις μέρεσι τοῦ Ταύρου. ὅλως μέντοι γε ὑπέργειος γίνεται τοῦ Ταύρου ἀνατέλλοντος.

714. οὐδὲ ὁ Ἡνίοχος ὑστερεῖ τότε ἀλλὰ συνανατέλλει τῷ Ταύρῳ, ἐπιβεβηκὼς αὐτοῦ τῷ ἀριστερῷ κέρατι, καὶ οὐδαμῶς ἀνιόντος τοῦ Ταύρου ὁ Ἡνίοχος ἀπολείπεται.

716. οὐχ ἅπας, φησίν, ἅμα ἀνατέλλει ὁ Ἡνίοχος τῷ Ταύρῳ (μοῖραν γὰρ το ζῴδιον εἶπεν ἤγουν τὸν Ταῦρον), ἀλλ' ὅλον τὸν Ἡνίοχον οἱ Δίδυμοι ἀνάγουσιν.

718. οἱ μέντοι Ἔριφοι καὶ ἡ Αἲξ καὶ τὸ θέναρ τοῦ ἀριστεροῦ ποδὸς ἅμα τῷ Ταύρῳ συναναφέρεται, ὁμοίως δὲ καὶ τοῦ Κήτους ἥ τε λοφιὰ καὶ ἡ οὐρά. καθ' ὃν δὲ καιρὸν συμβέβηκε τοῦ Κήτους τήν τε λοφιὰν καὶ τὴν οὐρὰν ἐκ τῶν νοτίων μερῶν ἀνατέλλειν, τότε δὴ καὶ ὁ Ἀρκτοφύλαξ ἄρχεται μετὰ τοῦ πρώτου ζῳδίου δύνειν, τουτέστι τοῦ Σκορπίου, ὅς ἐστι κατὰ διάμετρον τῷ Ταύρῳ. εἴπομεν δὲ πρῶτον ὅτι ὁ Ἀρκτοφύλαξ ἐν δ' μοίραις δύνει, ἤγουν ἐν δ' ζῳδίοις. κατὰ διάμετρον τοίνυν ἄρχεται τότε δύνειν ἀνελθόντος Κριοῦ, ὅτε αἱ Χηλαὶ δύνουσι· πρώτη γὰρ μοῖρα τῆς τοῦ Βοώτου δύσεως αἱ Χηλαί. αἱ δὲ δ' μοῖραι, Χηλαὶ Σκορπίος Τοξότης Αἰγόκερως, κατάγουσιν ἐπὶ δύσιν ἄνευ χειρὸς τὸν Βοώτην. ἄδυτος γὰρ αὐτοῦ ἡ χείρ, ἐπειδὴ τοῦ ἀρκτικοῦ ἐστὶν ἔνδον· αὕτη γὰρ ἡ λαιὰ αὐτοῦ χεὶρ πλησίον ἐστὶ τῆς μεγάλης Ἄρκτου.

724. οἱ δὲ τοῦ Ὀφιούχου πόδες μέχρι γονάτων καταδυόμενοι ἔστωσάν σοι τεκμήριον τῶν Διδύμων ἀνιόντων, καθ' ὃν καιρὸν καὶ ὅλον τὸ Κῆτος ὑπὲρ τὸν ὁρίζοντα θεωρεῖται, ἅμα σὺν αὐτῷ καὶ ὁ Ἠριδανὸς ποταμὸς κατηστερισμένος ὑπὸ τὸν ἀριστερὸν πόδα τοῦ Ὠρίωνος. τὸ δὲ

Digitized by Google

Κήτεος ὄὐδὲν ἕλκεται (726) ἤγουν τῶν Διδύμων ἀνιόντων ὀὐδὲν τοῦ προειρημένου Κήτους ἔτι ἕλκεται ἐπ' ἀνατολάς, ἀλλ' ὅλον ἤδη ἐπὶ τὸ φανερόν ἐςι. τῷ δὲ ἀμφοτέρωθεν (727) ἤγουν οὔτε ἐξ ἀνατολῶν οὔτε ἐκ δύσεων.

728. τότε τὴν τοῦ Ποταμοῦ πρώτην καμπὴν ἐν καθαρῷ καὶ εὐδίῳ πελάγει ναύτης ἀφορῶν ἴδοι ἄν. ἐζήτηται δὲ διὰ ποίαν αἰτίαν ἐν τούτῳ μόνον αὐτοῦ ἐμνήσθη. καὶ φαμὲν ὅτι ἐπειδὴ ἐπάγει τὸν Ὠρίωνα, πρὸς ὃν μάλιςα ἀφορῶντες πλέουσιν οἱ ναῦται, ὑπὸ δὲ τοὺς τοῦ Ὠρίωνος πόδας αὐτός ἐςι, διὰ τοῦτο αὐτοῦ ἐμνήσθη.

730. μένων ἤγουν ἐκδεχόμενος. οἱ γὰρ ναῦται δύνανται ἐν αἰθερίῳ καταςήματι ταῦτα τὰ ἄςρα ἐπιτηροῦντες, καὶ μάλιςα τὸν Ὠρίωνα, τεκμήρασθαι πόσον τῆς νυκτὸς ὑπολείπεται μέρος καὶ πόσον διάςημα πεπλεύκασιν. ἰδόντες γὰρ τὴν τοῦ Ποταμοῦ πρώτην καμπὴν κατανοήσουσιν ὅτι λοιπὸν ὁ Ὠρίων ἀνατέλλει· τοῦ δὲ Ὠρίωνος φανέντος γνώσονται πόση τῆς νυκτός ἐςιν ὥρα. πανταχῇ γὰρ ἐν παντὶ τῷ οὐρανῷ ταῦτα τὰ διὰ τῶν ἄςρων τεκμήρια οἱ θεοὶ παρέχουσιν.

εἴ οἴ ποθι: ἐάν ποτε αὐτῷ ἢ νυκτὸς σημεῖον ἢ πλοῦ μέτρον εἴποι. τεκμαίρεται γὰρ ἀπὸ τοῦ δεῖνος ἄςρου ἀνατέλλοντος πόσον πλοῦν περαιώσει δύνοντος τοῦ σεσημειωμένου ἀςέρος, οἷον ἕστ' ἂν δύνῃ ὁ δεῖνα ἀςὴρ, ἡμεῖς ἀποπλεύσομεν εἰς τὸν δεῖνα τόπον, ἢ τοὐναντίον ἕστ' ἂν ὁ δεῖνα ἀςὴρ μέλλῃ ἀνατέλλειν, τόδε ἔςαι. παρασημειοῦνται γὰρ αὐτοὺς ὡς ἔφημεν.

ἕως ὧδε τὰ περὶ τῶν ἄςρων ἤγουν τῶν φαινομένων.

733. διαλεχθεὶς ἡμῖν, καὶ πληρώσας τὸν περὶ τῶν ὡρῶν καὶ τῆς τῶν ἄςρων καταλήψεως λόγον, ἔρχεται ἐπὶ ἄλλο βιβλίον σφόδρα βιωφελές, ὃ καλεῖται Διοσημεῖα. καὶ βούλεται περὶ σελήνης διαλαβεῖν· ἀπὸ γὰρ τοῦ ποιοῦ τῆς σελήνης σχήματος καὶ ἀπὸ τῶν τοῦ ἡλίου ἀκτίνων δηλοῖ ἡμῖν εἰ ἔςαι ἢ μὴ χειμών. ἔδοξε δέ τισιν ὅτι τὸ οὐχ ὁράᾳς δεύτερον πρόσωπον ὃν πρός τινα ἀναφέρεται, πρὸς ὃν ὁ Ἄρατος διαλεγόμενος προοιμιάζεται, Ἀγκλείδην καλούμενον. ἠγνόησαν δὲ ὅτι οὐχ ὡς προσφωνῶν τινὶ τῷ δευτέρῳ ἐχρήσατο προσώπῳ, ἀλλὰ ποιητικῷ ἔθει οὕτω τὸν λόγον ἐσχηματίσατο. καὶ Ὅμηρος "ἔνθ' οὐκ ἂν βρίζοντα ἴδοις" καὶ "Πατρόκλεις ἱππεῦ" καὶ "οὐδὲ σέθεν Μενέλαε" διὰ γὰρ τῶν τοιούτων ἦθος ἐγγίνεται τοῖς ὑποκειμένοις.

ὀλίγη μέν: πειρᾶται διὰ πολλῶν παραςῆσαι ὅτι πολλὰ τεκμήρια ἡμῖν οἱ θεοὶ παρέχουσι, καὶ οὐ μόνον δι' ἡλίου καὶ σελήνης ἀλλ' ἤδη καὶ ζώων καὶ ἑρπετῶν καὶ φυτῶν καὶ ἄλλων παντοίων, δεικνὺς ὅτι διὰ πάντων προνοοῦνται ἡμῶν οἱ θεοί. ἄρχεται οὖν τὰς τῆς σελήνης φαύσεις ἐκτιθέναι, καὶ φησὶν ὅτι μετὰ τὴν τοῦ ἡλίου δύσιν ἐπὶ τῆς ἑσπέρας, ἐὰν φανῇ μηνοειδὴς καὶ λεπτὰς τὰς κεραίας ἔχουσα, αὔξησιν τοῦ αὐτοῦ φωτὸς ἐπιδείκνυται· ὅταν δὲ ἄρχηται σκιὰν τῶν σωμάτων ἀποτελεῖν, τετράδα



Digitized by Google

τῦ μηνὸς σημαίνει· ὅταν δὲ εἰς ἡμικύκλιον διαιρῆται, διχότομος ὀνομάζεται, ὀγδόην μοῖραν ἐπέχυσα· πλήρης δὲ γενομένη πανσέληνος καλεῖται. ἐντεῦθεν δὲ πάλιν μειυμένη τῷ φωτὶ πολλὰς ἀλλάσσει φαύσεις, καὶ καθ' ἑκάςην φαῦσιν αὐτῆς ἐπινοίας λαμβάνομεν τῶν τοῦ μηνὸς ἡμερῶν. ἡ μὲν γὰρ ἀμφίκυρτος ἐννεακαιδεκάτην δηλοῖ, διχότομος δὲ γενομένη εἰκάδα δευτέραν ἢ τρίτην. μετὰ δὲ τὴν διχότομον λεπτὰς πάλιν ἔχυσα καὶ μηνοειδεῖς τὰς κεραίας δηλοῖ τὰς ἐπὶ ἄνοδον ἡμέρας. εἶτα συνοδεύυσα τῷ ἡλίῳ καὶ περιφωτιζομένη ὑπ' αὐτῦ ἀφανὴς γίνεται ἡμέραις δυσὶ καὶ μοίραις ὀλίγαις. τὸ δὲ ἑξῆς ὕτως. οὐχ ὁρᾷς, ὅταν ἀπὸ δύσεως ἡ σελήνη φαίνηται, αὐξανομένυ μηνὸς (ἤγυν τῦ φωτὸς) σημεῖον διδάσκει, δ' δὲ ἡμέραν, ὅταν πρῶτον ἀποβάλῃ σκιὰν ἀπὸ τῶν σωμάτων ἡμῶν, ή δὲ ἡμιλάμπρυ ὄντος τῦ φωτός, διχομηνίαν δὲ πανσέληνον πᾶν τὸ ἐν αὐτῇ πρόσωπον καὶ πλῆρες φωτὸς ἔχυσα. τὸ οὖν ἑσπερόθεν φαίνηται (734) ἤγουν ὅτε φαίνεται ἀπὸ τῆς ἑσπέρας. ἑσπέραν δὲ τὸν ὑπὸ γῆς τόπον καλεῖ· ἀποσᾶσα γὰρ ἡ σελήνη ιβ' μοίρας τίκτεται. ἰςέον δὲ ὅτι μῆνα κυρίως ἔλεγον οἱ Ἕλληνες τὸν χρόνον τὸν ἀπὸ τῆς σεληνιακῆς συνόδυ, παρὰ τὸ μένειν ἢ παρὰ τὴν μήνην μῆνα ὀνομάσαντες. ἐμέτρυν γὰρ οἱ Ἕλληνες τὺς μῆνας πρὸς τὸν τῆς σελήνης δρόμον, Αἰγύπτιοι δὲ πρὸς τὸν τῦ ἡλίυ. ἀπὸ δὲ γέννης τρίτην ἡμέραν ἄγυσα ἡ σελήνη μηνοειδὴς κατὰ τὸ σχῆμα τῦ φωτὸς καλεῖται, ἡνίκα λεπτὸν φῶς τοῖς κέρασιν ἐπιτρέχει. ὀγδοαία δὲ οὖσα διχότομος ὀνομάζεται, ὅταν τοῦ κύκλου αὐτῆς τὸ ἥμισυ φωτισθῇ. δεκαταία δὲ ἀμφίκυρτος, ὅταν τῷ διχοτόμῳ κυρτώσεις προσγένωνται φωτός, ὥστε πλέον ἢ τὸ ἥμισυ τῦ κύκλυ φωτισθῆναι. πεντεκαιδεκαταία δὲ ὖσα πανσέληνος καὶ διχόμηνος, πληρωθεῖσα τῷ φωτί· πᾶσα γὰρ ἐν διαμέτρῳ ὖσα τῦ ἡλίυ διχασθέντα ἐν ιε' ἡμέραις δηλοῖ τὸν μῆνα. ἐντεῦθεν λοιπὸν κατὰ τὸ ἀνάπαλιν β' ἀμφίκυρτος, β' διχότομος, β' μηνοειδής, ἔπειτα ἁρπαγιμαία (ἀφανὴς γὰρ λοιπὸν γίνεται ὑπὸ τὰς τοῦ ἡλίυ αὐγὰς γενομένη), ἔπειτα συνοδική, ἡνίκα ἐν τῷ αὐτῷ ζῳδίῳ τὰς αὐτὰς μοίρας ἔχει. ἐπειδὰν δὲ τὴν ἰσομοιρίαν παραλλάξῃ, τότε πάλιν γεννᾶν φαμέν.

735. ἐν ταῖς ἀρχαῖς τῦ μηνὸς τοσῦτον ἄρχεται ἀποσκίδνασθαι φῶς τῆς σελήνης καὶ αὐγὴ ἀπ' αὐτῆς, ὅσον ἀμυδρὰν σκιὰν ἡμῶν τοῖς σώμασι ποιεῖν· ὅταν γὰρ πανσέληνος ᾖ ἤγυν ὁλόκυκλος, τότε καὶ τὸ φῶς πλεῖον ἔχυσα σκιὰν ὐχὶ μικρὰν ἡμῖν ἀποτελεῖ. ἐπὶ τέταρτον ὖν ἦμαρ, τυτέςι τεταρταία γενομένη ἡ σελήνη ἄρχεται δύνασθαι σκιάζειν ἐν τῷ φωτὶ αὐτῆς· τριταία γὰρ οὐ δύναται διὰ τὴν περικειμένην τοῦ φωτὸς ἀδράνειαν.

737. ὀκτὼ δὲ ἡμέρας ἄγει διχότομος ὖσα. τὰ δὲ διχόμηνα ἄγει ἤγυν τὴν μέσην τοῦ μηνός, ὅταν ἐν παντὶ προσώπῳ ἤγουν κύκλῳ πληρωθῇ φωτός, τυτέςιν ὅταν ᾖ πεντεκαιδεκαταία.

738. διὰ παντὸς δὲ ἀλλαχόθεν καὶ πολυπλασίως τὰ τοῦ φωτὸς

Digitized by Google

ἐπεκτείνουσα," δηλοῖ καὶ λέγει ὁποία καὶ πόση ἐςὶ τοῦ μηνὸς ἡ ἡμέρα. προείπομεν δὲ ὅτι τῶν μηνῶν αἱ καταλήψεις ἐκ τοῦ φωτὸς αὐτῆς γίνονται.

παρακλίνουσα μέτωπα: δεικνῦσα πρόσωπα ἤγουν εἴδη, τουτέςιν ἐν πολλαῖς μορφαῖς γινομένη, εἴρει καὶ λέγει ἡμῖν πόση ἡμέρα τοῦ μηνὸς ἀνατέλλει.

740. περὶ μὲν τῆς ἐν νυκτὶ τῶν ὡρῶν διακρίσεως ἤδη προείπομεν· αὐτὴν δὲ τὴν νύκτα καὶ τὴν ἡμέραν, ἥτις ἐςὶ τοῦ μηνός, ἑξῆς διδάσκει. μῆνα δὲ λέγομεν τὸν ἀπὸ συνόδου σελήνης καὶ ἡλίου χρόνον ἐπὶ σύνοδον, ὅς ἐςιν ἡμερῶν κθ'. ἐπὶ δὲ τῶν τοιούτων συνόδων ἡμέραν ἀκούει τὸν ἐκ τῆς νυκτὸς καὶ ἡμέρας χρόνον. τούτῳ δὲ τῷ μηνὶ ἐχρῶντο πρὸς τὴν τῶν πολιτικῶν ἡμερῶν διαγωγήν· καὶ νῦν ἔτι χρῶνται πολλοὶ τῶν Ἑλλήνων. ἄκρα δὲ νυκτῶν ἡ ἑσπέρα καὶ ὄρθρος, ἅπερ ἱκαναὶ πρὸς τὸ σαφῶς δηλῶσαι αἱ δώδεκα μοῖραι, τῶν ζῳδίων δηλονότι.

741. μέγαν ἐνιαυτὸν τὸν ἡλιακὸν λέγει. οἱ γὰρ παλαιοὶ τρία ᾔδεσαν μέτρα χρόνου, τὴν τῆς σελήνης περίοδον, τὴν ἑκάςην ὥραν τοῦ ἐνιαυτοῦ, καὶ τὴν ἡλιακὴν περίοδον. μέγιςον δὲ τῶν ἄλλων ἡ ἡλιακή. ὅτι δὲ τὸν ἡλιακὸν χρόνον λέγει, δῆλον ἐξ ὧν ἀρότου καὶ φυτείας μνήμην ποιεῖται. ἡ δὲ διάνοια ὁμοία τῇ τοῦ προοιμίου (11) "ἐσκέψατο δ' εἰς ἐνιαυτὸν ἀςέρας, οἵ κε μάλιςα τετυγμένα σημαίνοιεν." τὰ οὖν ιβ' ζῴδια οὐ μόνον τὰ ἄκρα τῶν νυκτῶν ποιοῦσι φανερά, ἀλλὰ καὶ τὴν τῶν ἐνιαυσιαίων καιρῶν διαφορὰν ἱκανῶς διασαφοῦσιν, ἔαρος δηλαδὴ θέρους μετοπώρου καὶ χειμῶνος· διὰ γὰρ τούτων καταλαμβάνομεν τὴν διαφορὰν τῶν κατὰ γεωργίαν ἔργων, σπόρου φυτείας ἀμήτου, τῶν ἄλλων ἁπάντων. ἐμφανεῖς δὲ τοῖς βουλομένοις ἀκριβῶς προσέχειν τυγχάνουσιν αἵ τε ἀνατολαὶ καὶ δύσεις τῶν ζῳδίων διὰ τὴν τοῦ θεοῦ πρόνοιαν. ὁμοία δὲ καὶ αὕτη ἡ διάνοια τῇ τοῦ προοιμίου, ἐκ Διὸς ἤδη πάντα (743) ἤγουν ὑπὸ τοῦ Διὸς παρεδόθη τοῖς ἀνθρώποις, ἵνα οἱ μὲν πρὸς ἀντίληψιν τῶν κατὰ γεωργίαν ἔργων ὠφεληθῶσιν, οἱ δὲ πρὸς ναυτιλίαν, φυλασσόμενοι τὰς χειμερίους ἀνατολάς τε καὶ δύσεις τῶν ἄςρων, οἷον Ἀρκτούρου Ἐρίφων Αἰγός, ἀπό τε τῆς ἑσπέρας σημείωσιν ποιούμενοι τοῦ μέλλοντος καὶ ἀπὸ τοῦ ὄρθρου, ἤγουν ἀπὸ τῆς ἑκάςης τῶν ιβ' ζῳδίων ἀνατολῆς τε καὶ δύσεως. ὁ γὰρ ἥλιος ἐν τῇ ἐνιαυσιαίῳ περιόδῳ διεξιὼν τὸν ζῳδιακὸν κύκλον κατὰ τάξιν εἰς ἓν ἕκαςον τῶν ζῳδίων μεταβαίνει· διὸ ὄγμον τὴν πορείαν αὐτοῦ ὠνόμασε (749). καὶ Ὅμηρος "ὄγμον ἐλαύνων."

744. τὰ ἀπλανῆ, φησί, δηλοῖ τοὺς καιροὺς καὶ τεκμήρια δίδωσι τοῦ πλοῦ· καὶ γάρ τις καὶ νηὶ ἑαυτὸν δεδωκὼς τοῦ πολυκλύςου χειμῶνος ἐσκέψατο, τοῦ Ἀρκτούρου μνημονεύσας. οὐκ ὀλίγη γὰρ ἡ χειμερινὴ αὐτοῦ δύσις ἐςί· ταῖς γὰρ Χηλαῖς συγκατέρχεται, τῷ Σκορπίῳ, τῷ Τοξότῃ καὶ τῷ Αἰγοκέρωτι, ὥςε τετράμηνός ἐςιν. ἔμαθεν οὖν περὶ τοῦ ἐσομένου χειμῶνος ὁ ναυτίλος ἢ τοῦ δεινοῦ Ἀρκτούρου μνημονεύσας (ἤγουν τοῦ Βοώτου·



Digitized by Google

ἀπὸ μέρους γὰρ τὸ πᾶν) ἤ τινῶν ἄλλων ἀςέρων, οἵτινες ἐξ ὠκεανοῦ ἀρύονται (746) ἤγουν ἀνατέλλουσι. δεινὸν δὲ τὸν Ἀρκτοῦρον εἶπεν ἢ διὰ τὸ λαμπρὸν ἢ μᾶλλον διὰ τὸ χειμερινόν. ἀμφιλύκην δὲ τὴν ἀνατολήν φησι (747) διὰ τὸ τὸν λύκον ἀνακεῖσθαι τῷ Ἀπόλλωνι. ὡς γὰρ ἐκεῖνος μακρόθεν ὢν ὁρᾶν δύναται (μάντις ὢν προβλέπει M), οὕτω δὴ καὶ ὁ λύκος ὀξυδερκής ἐςι· διὰ δὴ τὸ ὀξυδερκὲς αὐτοῦ προσήρμοσαν αὐτὸν τῷ Ἀπόλλωνι. ταύτῃ τοι καὶ λυκόφως τὴν αὐγὴν λέγουσιν, ἤγουν ὅταν ὁ λύκος θεᾶται. τὸ δὲ ὄγμος (749) σημαίνει μὲν κυρίως τὴν τάξιν τῶν θεριζόντων, ὅπου ἀμῶνται, σημαίνει δὲ καὶ τὸν μεταξὺ δύο φυτειῶν τόπον ἀργόν. ἐπεὶ οὖν τὴν μέσην γραμμὴν τοῦ ζῳδιακοῦ ὁ ἥλιος πορεύεται, ἔχει δὲ ὁ κύκλος ἄλλας δύο ἑκατέρωθεν γραμμάς, διὰ τοῦτο εἶπεν ὄγμον τὸν τοῦ ἡλίου κύκλον.

750. τοτὲ μέν: ἢ γὰρ ἀνατέλλων ἑῴας αὐτοῖς τὰς φαύσεις παρέχει, ἢ δύνων ἑσπερίας. τὸ δὲ αὐτίκα ἐπ' ἀμφοτέρων· ἢ γὰρ αὐτίκα ἀνιὼν μετὰ τὴν ἑῴαν τοῦ ἄςρου φαῦσιν, ἢ πρὸ ὀλίγου τῆς τοῦ ἄςρου ἑσπερίας φαύσεως δεδυκώς.

751. ἐφ' ἕκαςον ὁ ἥλιος τῶν ἐν ταῖς μοίραις ἀςέρων ἔρχεται, οἷον σήμερον τυχὸν τῷ ἐν τῇ πρώτῃ μοίρᾳ συνανατέλλει, οὐκοῦν τῇ ἑξῆς οὐκέτι σὺν αὐτῷ· ἔρχεται γὰρ ἐπὶ τὴν δευτέραν μοῖραν, καὶ ἐπιψαύει τοῦ ἀςέρος τοῦ ἐν τῇ δευτέρᾳ μοίρᾳ ὄντος· διὸ εἶπεν ἄλλος δ' ἀλλοίην ἐπιδέρκεται ἡμέραν σὺν ἡλίῳ ἀςήρ. ἢ ἄλλος κατὰ ἄλλην ἡμέραν τῶν ἀςέρων θεωρεῖται, κατὰ τὴν ἑῴαν δηλονότι ἀνατολὴν ἢ δύσιν ἤ τινα τούτων, ἐπείτοι γε καθ' ἑκάςην ἡμέραν ἕκαςος αὐτῶν καὶ ἀνατέλλει καὶ δύεται, ὡς τοῦ κόσμου καὶ ἐν νυκτὶ καὶ ἐν ἡμέρᾳ ἀπὸ σημείου ἐπὶ σημεῖον φερομένου.

752. Μέτων τις γέγονε παλαιὸς ἀςρονόμος, ὃς ἀκριβῶς ἀριθμήσας εἶπε μικρὸν ἐνιαυτὸν ὡς πρὸς σύγκρισιν τοῦ μεγάλου, περὶ οὗ πρότερον εἴπομεν, ὅταν σύνοδος τῶν ζ' ἀςέρων γένηται ἐπ' ἀπωλείᾳ τοῦ παντός. οἱ δὲ μετὰ Μέτωνα ἀςρονόμοι καὶ πίνακας ἐν ταῖς πόλεσιν ἔθηκαν περὶ τῶν τοῦ ἡλίου περιφορῶν τῶν ἐννεακαιδεκαετηρίδων, ὅτι καθ' ἕκαςον ἐνιαυτὸν τοιόσδε ἔσται χειμὼν καὶ τοιόνδε ἔαρ καὶ τοιόνδε θέρος καὶ τοιόνδε φθινόπωρον καὶ τοιοίδε ἄνεμοι, καὶ πολλὰ πρὸς βιωφελεῖς χρείας τοῖς ἀνθρώποις. ἐπειδὴ οὖν ἤδη ταῦτα ἐγνώσθη ἐκ τῶν πινάκων, καὶ αὐτὸς ἐκεῖθεν ἔγνω τὰ πολλὰ ὁ Ἄρατος, φησὶν ὅτι καὶ αὐτὸς γινώσκεις αὐτά· πάλαι γὰρ ἀείδεται καὶ ᾄδεται, καὶ φανερὰ τοῖς Ἕλλησι γέγονεν. ἐδέξαντο δὲ αὐτὰ Ἕλληνες παρ' Αἰγυπτίων καὶ Χαλδαίων. ποῖα οὖν ἐςὶ ταῦτα ἃ συναείδεται, ἐπήγαγε, τὰ κύκλα καὶ αἱ περιφοραὶ τοῦ ἡλίου αἱ διὰ ιθ' ἐτῶν γινόμεναι. φησὶν οὖν ὅτι πάντας τοὺς ἀςέρας ὁ ἥλιος ἐπέρχεται καθ' ἕκαςον ἐνιαυτόν, ἄλλοτε ἄλλῳ ἐμπελάζων, ὁτὲ μὲν ἀνιών, ὁτὲ δὲ καὶ δύνων. ἢ γινώσκεις τάδε καὶ

Digitized by Google

σὺ ἀντὶ τῦ γίνωσκε, ὁριςικὸν ἀντὶ προςακτικῦ. συνᾴδεται δὲ ἤγυν πρόκειται. κύκλα ἐνιαυτοί.

754. ὅσα, φησίν, ἔμαθες ἀπὸ τῶν παλαιοτέρων ἀπὸ τῆς ζώνης τῦ Ὠρίωνος πάλιν εἰς αὐτὸν τὸν Ὠρίωνα τὴν νύκτα ἄςρα περιφέρειν, καὶ ὅσα ἀπὸ τῦ Κυνὸς εἰς αὐτὸν τὸν Κύνα. βύλεται δὲ περὶ πάντων λέγειν τῶν ἀπλανῶν· προεῖπον γὰρ περὶ τῶν ἄλλων οἱ πρὸ Ἀράτυ, Εὔδοξός τε καὶ Ἵππαρχος καὶ ἄλλοι τινές. ἤρξαντο δὲ ἀπὸ Ὠρίωνος, ὅτι ὑπόκειται Καρκίνῳ, καὶ ὅτι μάλιςα εἰς αὐτὸν οἱ πλέοντες ὁρῶσι, καὶ ὅτι νότιός ἐςιν, ἐκ δὲ νοτίων μερῶν ἐκδέχονται ἀεὶ ἐσόμενον χειμῶνα. ἢ γινώσκεις καὶ ὅσα ἄστρα ἀπὸ τῆς ζώνης τοῦ Ὠρίωνος εἰς ἔσχατον Ὠρίωνα, ὅ ἐςι μέχρι τῶν ποδῶν αὐτῦ, ἡ νὺξ ἐπιδινεῖται. κατὰ κοινῦ δὲ τὸ γινώσκεις. ἀρχὴ δὲ τοῦ ἐνιαυτῦ ἐςὶν ἡ τῆς ζώνης τοῦ Ὠρίωνος ἐπιτολή, τέλος δὲ τῶν ποδῶν αὐτῦ ἡ ἐπιτολὴ καὶ τῦ Κυνός. εἰς τρία δὲ αὐτῦ διήρηται ἡ ἐπιτολή, ὦμον, πόδα, ζώνην.

755. ἐπιδινεῖται· παρέρχεται. γίνωσκε ὖν, φησίν, ὅτι ἀναλογῦσιν ἀλλήλοις καὶ σύμφωνοι γίνονται οἱ τῦ ἡλίυ δρόμοι διὰ ιθʹ ἐτῶν ἐπιθεωρύμενοι. ὁμοίως δὲ καὶ ἡ ἀνατολὴ τῆς τῦ Ὠρίωνος ζώνης μέχρι τῆς παντελῦς δύσεως αὐτῦ, ἔτι γε μὴν καὶ ἡ τῦ Κυνὸς ἀνατολὴ καὶ δύσις διὰ τῶν ἴσων ἐτῶν σύμφωνοι γίνονται. τὰς μὲν ὖν ἡμέρας τῶν ιθʹ ἐτῶν ἀπὸ τῆς τοῦ ἡλίυ ἐνεργείας ὑπέδειξε, τὰς δὲ νύκτας ἀπὸ τῆς τῦ Ὠρίωνος ἀνατολῆς τε καὶ δύσεως διὰ τὸ ἐκεῖνα τὰ ἄςρα καταληπτὰ τοῖς ἀνθρώποις ἐν τῇ νυκτὶ μάλα γίνεσθαι.

756. οὐ μόνον, φησίν, ὁ ἀριθμὸς τῆς ἐννεακαιδεκαετηρίδος ἐςὶν εὔχρηςος τοῖς ἀνθρώποις, ἀλλὰ καὶ τῶν λοιπῶν ἀςέρων αἱ παρατηρήσεις, τῶν τε Ποσειδῶνος καὶ τῶν τοῦ Διός. εἰσὶ δὲ Ποσειδῶνος μὲν ἀςέρες οἱ τὺς χειμῶνας καὶ τὰς εὐδίας δηλῦντες, Διὸς δὲ οἱ τὰ πρὸς γεωργίαν εὔχρηςα δεικνύοντες. ὅταν ὖν μέλλῃς πελαγίῳ δρόμῳ σεαυτὸν ἐμπιστεύειν, πολυπραγμόνησον πρῶτον τὴν παρατήρησιν τῶν τὰς εὐδίας ἢ τὺς χειμῶνας δηλύντων ἀςέρων. κόπος μὲν γάρ ἐςι τῷ βυλομένῳ βραχὺς τὴν τῶν σημείων μαθεῖν ἀκρίβειαν, ἡ δὲ ὠφέλεια πολλή· ἑαυτύς τε γὰρ σώζυσιν οἱ ἄνθρωποι πρῶτον οἱ τὴν παρατήρησιν αὐτῶν ἔχοντες (τῶν ἀνατολῶν καὶ δύσεων τῶν ἄςρων), καὶ τοῖς ἄλλοις παραίτιοι γίνονται ἀσφαλείας, προμηνύοντες αὐτοῖς μελλύσας τοῦ ἀςέρος ἐπιςάσεις ἐκ τῶν περὶ ὐρανὸν σημείων.

758. διὸ ἐκείνων (τῶν ἄςρων τῶν βιωφελῆ χρείαν ἐχόντων) ἐπιμέλειαν ἔχε, καὶ γίνωσκε καὶ μάνθανε αὐτύς· ὀλίγος μὲν γὰρ ἐκ τύτων κάματος (τυτέςιν ἐκ τῆς μαθήσεως), πολὺ δὲ τὸ βιωφελές ἐςι τῷ ταῦτα παρατηρῦντι ἀνδρὶ ἐν ταῖς ἐπιφροσύναις καὶ λογισμοῖς.

μέλει δέ τοι: περὶ δὲ τύτων τῶν ἄςρων μελέτω σοι, ὅσα κεχρημένα καὶ ἀσφαλῶς εἰρημένα περὶ πλῦ ἐςίν, ὅταν ἐν νηῒ σαυτὸν πι-

ςεύῃς καὶ μέλλῃς ȣ̔ρεῖν καὶ ὁρμᾶν, ἐπάνω τῶν κυμάτων δηλαδὴ (μέλλῃς εὑρεῖν πόθεν ἔςαι κύματα M).

765. πολλάκις γάρ, φησί, γαλήνης ȣ̓́σης θεασόμενός τις ἀνὴρ ἔμπειρος σημεῖόν τι διὰ τῆς νυκτὸς προεῖδε χειμῶνα ἐπιγενησόμενον, καὶ ἀσφαλισάμενος τὴν ναῦν ἐμπειρίᾳ ναυτικῇ διεσώθη. ἢ πολλάκις γαλήνης ȣ̓́σης ἐν τῇ νυκτὶ ἀσφαλίζεταί τις περὶ τῆς νηὸς ἐκ τῆς περὶ τὰ μέλλοντα προγνώσεως· ȣ̓ γὰρ ἐκ τȣ̃ παραυτίκα δεῖ προσμένειν τὸν χειμῶνα, ἀλλὰ πολλάκις ἐκ τῶν σημείων τεκμαιρόμεθα καὶ μετὰ τρεῖς ἡμέρας χειμῶνα καὶ μετὰ πέντε γενησόμενον.

767. ποτὲ μὲν μετὰ τρεῖς ἡμέρας γίνεται χειμών, ποτὲ δὲ μετὰ πέντε, ποτὲ δὲ καὶ ἀπροοράτως· ἀλλ' ὅμως ἐκ τῶν προγινομένων σημείων γινώσκομεν.

768. καὶ πολλάκις ἀπροσδοκήτως ὁ χειμὼν ἐπέρχεται· ȣ̓ γὰρ πάντα οἱ ἄνθρωποι τὰ σημεῖα ἐπιςάμεθα, ἀλλ' ἔτι καταλείπεται ἡμῖν ἄδηλά τινά, ὧν ἴσως καὶ ἐς ὕςερον δώσει ἡμῖν ὁ θεὸς τὴν γνῶσιν.

770. Ζεὺς ἤγȣν οὐρανός, ὡς καὶ ἐν ἄλλῳ (265) "Ζεὺς αἴτιος." καὶ ὁ μὲν ȣ̓ρανός, φησίν, ἐκ τῶν ἐγκειμένων αὐτῷ ἀςέρων δίδωσιν ἡμῖν σημεῖα· ἄλλα δὲ ἡμῖν παρέχει ἡ σελήνη διχότομος γινομένη ἀμφοτέρωθεν (καὶ γὰρ καθ' ἑκάςην αὐτῆς περίοδον διχότομος γίνεται δίς), ἀλλὰ καὶ πεπληθυῖα, τȣτέςι πληροσέληνος οὖσα. συμβάλλεσθαι δὲ οὐκ ὀλίγα εἰς πρόγνωσιν εὐδίας τε καὶ χειμῶνος τὸν ἥλιον δύνοντα καὶ ἀνατέλλοντα, ἃ μὲν εἰς ὅλον μῆνα, ἃ δὲ καὶ εἰς αὐτὴν τὴν ἡμέραν. ὁ γὰρ ἥλιος ἀνατέλλων σημεῖα τῆς ἡμέρας παρέχει χειμερίȣ ἢ εὐδιεινῆς, καὶ δύνων γε τῆς νυκτός. ὁποῖα μέντοι γε τοῦ μηνὸς σημεῖα γίνεται, ὅτε τὰ ζῴδια διέρχεται, δεικνυσιν· ὁ γὰρ Εὔδοξος Κριὸν μὲν φησιν ἡλίου διερχομένου μαλακὰ γίνεσθαι πνεύματα, ὁμοίως δὲ καὶ Ταῦρον, Διδύμȣς δὲ ζεφύρȣς τε πνεῖν καὶ βορέας ψυχρȣ́ς.

771. ȣ̔̃τος γὰρ ἀεὶ ὁ Ζεὺς τὸ τῶν ἀνθρώπων γένος ὠφελεῖ πανταχόθεν καὶ ἐν παντὶ ὁρώμενος καὶ παρέχων τὰ φανερὰ σημεῖα. τὸ ȣ̓ν πάντοθεν εἰδόμενος (772) οἱ μὲν ȣ̔́τως ἐξέλαβον, ἤγȣν διὰ γῆς, διὰ θαλάσσης, διὰ παντὸς μέρȣς τȣ̃ κόσμȣ· οἱ δὲ ȣ̔́τως, ἤγȣν διὰ κληδόνων, διὰ μαντείων, δι' ὀνείρων, διὰ σημείων καὶ διὰ τῶν παραπλησίων πάντων.

778. περισκέπτȣ δὲ πρῶτον (τȣτέςιν ἐν τῇ τρίτῃ ἡμέρᾳ, ἐν ᾗ καὶ φαίνεται τὰ κέρατα αὐτῆς) τῆς σελήνης· ἐξ αὐτῆς γὰρ ἔςι καταλαβεῖν τὰ ἐναντία ὄντα ἀλλήλοις, τȣτέςι χειμῶνας καὶ εὐδίας.

779. ἑσπερος: πρὸς τὴν ἑσπέραν ἤγȣν δύσιν, ὅτε καὶ ἀρχὴν ἔχει ἀπὸ συνόδȣ· συνοδεύȣσα γὰρ πλησίον τȣ̃ ἡλίȣ πρὸς τὴν ἑσπέραν φαίνεται, εἰκότως. εἰ γὰρ νομίζεται ἐν Ταύρῳ εἶναι ὁ ἥλιος περὶ τρίτην ἢ τετάρτην μοῖραν, αὕτη δὲ τȣ̃ Ταύρȣ περὶ τριακοςὴν μοῖραν δύνοντος τȣ̃ ἡλίȣ, λοιπὸν αὕτη πρὸς τὴν δύσιν φαίνεται, ἕως ȣ̔̃ ὅλος ὁ Ταῦρος κα-

Digitized by Google

τενεχθῇ. ἐὰν δὲ ᾖ ἐν Διδύμοις, τοῦ ἡλίου μετὰ τοῦ Ταύρου δύνοντος, αὕτη ἄλλας δύο ὥρας ἔχει ὑπὲρ γῆν, ἕως καὶ οἱ Δίδυμοι κατέλθωσι. καὶ οὕτως ὅσον αὐτὸς ἀποκλίνει, μεῖζον τὸ φῶς αὐτῆς γίνεται καὶ ἀνωτέρω φαίνεται τῆς δύσεως. ὅτε οὖν ἀπὸ συνόδου οὖσα ἄγει τρίτην ἢ τετάρτην ἡμέραν καὶ ἔχει λαμπρὸν τὸ φῶς, εὐδίας ἐςὶ σημαντική. ἢ πολλὰς φαντασίας ἔχει, ὡς καὶ ἐπὶ τῶν ὑδάτων. ὡς γὰρ ἂν ταῦτα ἔχοι φύσεως, οὕτω καὶ τὰ ἐν αὐτοῖς ἡμῖν προσπίπτει· ἀλλοῖα γοῦν τὰ ἐν θολερῷ καὶ παχεῖ τῷ ὕδατι, ἀλλοῖα δὲ τὰ ἐν καθαρῷ. ποτὲ μὲν οὖν διάφορόν ἐστι τὸ φῶς, ποτὲ δὲ καὶ ἡ μορφή· ὅτε μὲν γὰρ κερατοειδής ἐςιν, ὅτε δὲ ἀλλοία καὶ διάφορος. ὁ δὲ νοῦς, εὐθὺς ἀπὸ συνόδου οὖσα καὶ γενήσεως περὶ τρίτην καὶ τετάρτην ἡμέραν διάφορον τῶν περάτων αὐτῆς ἔχει σχῆμα. τὸ δὲ ἐπιγράφει ἐπιχρωματίζει· ἡ μεταφορὰ ἀπὸ τῶν σωμάτων. κερόωσι δὲ (780) κερατοποιοῦσι, σχηματίζουσιν εἰς κεραίας.

782. ἀπὸ γὰρ τῶν περὶ τὴν αὔξησιν αὐτῆς σημείων δυνήσῃ μαθεῖν περὶ ὅλου τοῦ μηνός, εἰ ὀμβρινὸς ἢ ἀνεμώδης ἢ αὐχμηρὸς ἢ νήνεμος ἔσται.

783. τουτέςι, τριταία οὖσα, εἰ μὲν λαμπρὸν ᾖ τὸ φῶς, εὐδίας ἐςὶ σημαντική· εἰ δὲ πυῤῥὸν καὶ ξανθόν, ἄνεμον δηλοῖ· εἰ δὲ μέλαν καὶ ζοφῶδες, χειμῶνος καὶ ὑετοῦ. ἔςι μὲν οὖν αὐτὸ τὸ σεληνιακὸν φῶς διόλου ἀπαθὲς καὶ λαμπρόν· ἄτοπον γὰρ τοῖς ςοιχείοις διδόναι πάθη· ὁ δὲ παρακείμενος ἡμῖν οὗτος ἀὴρ προς πάντα συμπάθειαν ἔχων τοιοῦτον αὐτῆς ἀποδεικνύει τὸ φῶς. ὅταν γὰρ πνεῖν μέλλωσι ξηροὶ ἄνεμοι, τῆς ξηρότητος τῆς ἐσομένης ἀντιλαμβανόμενος ὁ ἀὴρ πυῤῥὸς γίνεται καὶ ξανθός· καυςικὸν γὰρ ἀεὶ τὸ ξηρὸν καὶ πυρῶδες. καὶ οὗτος ὁ ἀὴρ τοιοῦτος γενόμενος σφάλλει ἡμῶν τὴν ὄψιν, οὕτως ὁρᾶν τῆς σελήνης τὸ φῶς, καὶ ἔςι σημεῖον ἀνέμων ξηρῶν. ἡ τριταία οὖσα, ἤγουν τρίτην ἡμέραν ἄγουσα ἀπὸ συνόδου, καὶ οὖσα λεπτή (τοιαύτη γάρ ἐςι τριταία οὖσα), καθαρὸν καὶ διαυγὲς τὸ φῶς ἔχουσα εὐδίας ἐςὶ σημαντική. λεπτὴ δὲ οὖσα, τουτέςι τριταία, καὶ σφόδρα ἐρευθὴς οὖσα καὶ πυρῶδες τὸ φῶς ἔχουσα πνευμάτων ἐςὶ δηλωτική.

785. ὅταν ἄνεμοι μέλλωσι πνεῖν, πάλιν τῆς ἐσομένης ὑγρότητος ὁ ἀὴρ ἀντιλαμβανόμενος παχυμερής τις ἐκ τῆς ὑγρότητος γίνεται καὶ ζοφώδης, καὶ τοιοῦτον ἡμῖν δείκνυσι μέλαν καὶ ζοφῶδες τὸ τῆς σελήνης φῶς· καὶ γὰρ καὶ τὰς μελαίνας τῶν νεφελῶν καὶ ζοφώδεις ὑετοῦ αἰτίας φαμὲν εἶναι, τὰς δὲ καθαρὰς ἀνέμων. τὰ γὰρ πνεύματα ἃ σίφωνας καλοῦσιν οἱ ναῦται, συςρεφόμενα ἐν τῇ θαλάσσῃ ἀνιμῶνται τὸ ὕδωρ, καὶ συνιςάμενα παχέα καὶ ζοφώδη γίνεται, καὶ ἀποτελοῦσι πιλώσεις νεφελώδεις, ἐξ ὧν φέρεται καὶ ὁ ὑετός. σίφωνας δὲ αὐτοὺς λέγουσιν οἱ ναῦται, ἐπειδὴ πολλάκις καὶ αὔτανδρον τὸ σκάφος μετὰ τοῦ ὕδατος

Digitized by Google

ἀνιμῶνται εἰς ὕψος καὶ πάλιν ἐξασθενοῦντες ἀφιᾶσι κάτωθεν. ἐκ γῆς τοίνυν πολλαὶ ἀναθυμιάσεις γίνονται, αἳ τὸν ἀέρα μεταβάλλουσιν.

παχυμερὴς καὶ ζοφωδεστέρα φαινομένη, καὶ ἔχουσα τὰς κεραίας ἀμβλυτέρας καὶ ἀμαυροτέρας, ἐν τετάρτῃ ἡμέρᾳ, ὅτε οὐκ ἔδει, εἴγε καὶ σκιὰν πέμπειν τεταρταίαν οὖσαν εἰκός, ὑπὸ νότου ἀμβλύνεται· ὑγρὸς γὰρ καὶ χειμερινὸς οὗτος, καὶ δηλονότι παχυμερῆ ποιῶν τὸν ἀέρα τῇ ὑγρότητι τοιαύτην ὁρᾶσθαι ποιεῖ τὴν σελήνην. ἢ οὖν ὑπὸ νότου ἀμβλύνεται ἢ ὑετοῦ ἐπιγιγνομένου. ἢ καὶ οὕτως. ὅταν δὲ παχεῖα ᾖ καὶ ἀμβλυτέρας τὰς κεραίας ἔχῃ, νότον προσδοκᾶν ἢ ὄμβρον. ὅταν δὲ τρίτην ἄγουσα ἡμέραν μήτε παρακεκλασμένας ἔχῃ τὰς κεραίας μήτε ὑπτιάζηται, ζεφύρου σημαντική. εἰ δὲ ἀπὸ τρίτης ἡμέρας μέχρι τετάρτης τὸ αὐτὸ τηρήσει σχῆμα, χειμῶνος ὑπογυίου σημαντική ἐστιν· ὅθεν κελεύει θεωρεῖν αὐτὰς ἀμφοτέρας τὰς κεραίας ἀπὸ πρώτης αὐξήσεως.

786. ἐν τετάρτῃ ἡμέρᾳ οὐκ ἔδει εἶναι τὸ φῶς αὐτῆς ἀ μ ε ν η ν ό ν, ἀλλ᾽ ἔδει καὶ σκιὰν ἀποπέμπειν ἐξ αὐτῆς. ἢ δῆλον ὅτι ὀφείλουσα ἔχειν ἰσχυρὸν τὸ φῶς ἀμενηνὸν ἔχει. ἆρα οὖν ἐξ αἰτίας τινὸς τοῦτο πέπονθεν. ἢ γὰρ νότῳ ἀμβλύνεται ἢ ἐσομένῳ ὕδατι· καὶ γὰρ ὁ νότος ἐξ ὑγροῦ ἀέρος συνίσταται· διὸ καὶ καρηβαρής. πάντα δὲ τὰ πυρώδη διὰ μὲν πυκνοῦ τοῦ ἀέρος ὁρώμενα ἐρυθρὰ φαίνεται, διὰ ὁρατοῦ δὲ καθαρά. καὶ ἡ σελήνη δὲ καὶ οἱ ἀστέρες πάντες φλογώδους οὐσίας κεκοινωνήκασι καὶ αἰθέρος εἰσὶν ἐπιλείμματα. διαυγὴς τοίνυν καὶ αὐτὴ φαινομένη σημαίνει εὐδίαν ἅτε διὰ ξηροῦ τοῦ ἀέρος φαινομένη, ἐρυθρὰ δὲ κίνησιν πνευμάτων διὰ τὴν περὶ τὸν ἀέρα πύκνωσιν, ὃς διαχεόμενος ἀνέμους ποιεῖ· καὶ γὰρ οὐδέν ἐστιν ἄλλο ἄνεμος ἢ ῥεῦσις ἀέρος.

788. οἱ ἄνεμοι πάλιν οἱ πνέοντες τοῦτον τὸν περικείμενον ἡμῶν ἀέρα ἐπίπροσθεν ἑαυτῶν ὠθοῦνται. καὶ εἰ μὲν ζέφυρος πνεύσῃ, ἀπὸ τῆς δύσεως ἐπίπροσθεν αὐτοῦ διωθούμενος τὸν ἀέρα ἔμφασιν ἡμῖν παρέχει τοῦ δοκεῖν τῆς σελήνης τὰ κέρατα ὡς ἐπὶ ἀνατολῆς πρηνῆ φέρεσθαι· ἐὰν δὲ ἀπηλιώτης πνεύσῃ, τότε ἀνάπαλιν ἄνω νενευκότα τὰ κέρατα φαίνεται ὡς ὑπτιούμενα· ἐὰν δὲ βορέας πνεύσῃ, τὸ ἓν κέρας τὸ βόρειον ἐπικαμπὲς γίνεται· πάλιν ἐὰν νότος, τὸ πρὸς νότον κέρας καμπτόμενον. ὡς οὖν εἴπομεν, ὁ ἀὴρ ἐστιν αἴτιος. ἐὰν οὖν, φησί, τρίτην ἡμέραν ἀπὸ συνόδου ἔχουσα ἀμφοτέροις τοῖς κέρασι μήτε νευστάζῃ, ὡς ἐπὶ ἀνατολῆς, μήτε ὕπτιος φαίνηται, ἀλλ᾽ αἱ κεραῖαι αὐτῆς ὀρθαὶ οὖσαι κυκλοτερεῖς φαίνωνται, τότε μὲν οὐκ ἔστιν ἄνεμος δηλονότι· τῇ δὲ ἐπιούσῃ ἡμέρᾳ πρὸς τὴν ἑσπέραν μετ᾽ ἐκείνην τὴν νύκτα, ἐν ᾗ τοιάδε ἐφάνη ἡ σελήνη, γενήσεται. καὶ πολλοὶ δέ, φησί, πνεύσονται.

ἐάν, φησί, τριταίαν ἡμέραν ἄγουσα μήτε ὑπτιάζῃ μήτε ἐπινεύῃ τοῖς κέρασι, τότε προσδέχου τοὺς ἑσπερίους ἀνέμους, τουτέστι τοὺς ἀπὸ δύσεως, οἷον ζεφύρους καὶ ἀργέστας· ξηρὸς γὰρ ὢν ὁ ἀὴρ εἰς τὰ τοιαῦτα πνεύματα τὴν μεταβολὴν λαμβάνει διὰ τὴν ἑσπερινὴν ψύξιν. ἐὰν μέντοι

Digitized by Google

ἐπιμένῃ καὶ τῇ τετάρτῃ ἡμέρᾳ ταύτας τὰς κεραίας ἔχουσα, λέγω δὴ ὀρθάς, χειμῶνός ἐστι σημαντική· πλείων γὰρ ἡ ξηρασία ἐπιμένουσα κατὰ τὴν ἐπιπλέον ἐκπύρωσιν ἐν αὐτῇ ἕλκει τὸ ὑγρόν. ἡ δὲ μεταβολὴ τῶν τῆς σελήνης κεράτων κατὰ διαφόρους καιρούς. ἐν μὲν τοῖς βορείοις καταστήμασι λεπτότερος ὁ ἀὴρ ὑπάρχων ἀκριβῆ τὴν θέαν ἡμῖν παρέχει τότε· διὸ καὶ ἐπινεύειν τὸ τηνικαῦτα δοκεῖ τὰ κέρατα αὐτῆς. ὅταν δὲ καὶ ἰκμάδος τινὸς πλήρης ὁ ἀὴρ ᾖ, τότε φαίνονται ἀνανεύουσαι αἱ κεραῖαι, ἐπεὶ καὶ πάντα τὰ κάθυγρα πλατύτερα φαίνεται·

792. εἰ δὲ τὴν ὁμοίαν φαντασίαν καὶ τεταρταία] οὖσα παρέχοιτο, ἀρχὴν χειμῶνος ἀθροιζομένου μαντεύου, ἐμοὶ δοκεῖν πυκνουμένου τοῦ ἀέρος διὰ τὴν τῶν ἀπὸ τῆς ἑσπέρας πνευμάτων ῥύσιν. αἴτιον δὲ τῆς πυκνώσεως τὸ διὰ πολλοῦ τοῦ διαστήματος ἀπὸ τοῦ ὠκεανοῦ φερόμενον τὸ πνεῦμα ἀδυνατεῖν τὴν παχύτητα τοῦ ἀέρος ὠθεῖν, ὅθεν ἱσταμένου καὶ ἀντισχομένου ἀπαντᾷ ἡ πύκνωσις. διὰ τί δὲ ἐν μὲν τῇ τρίτῃ ἡμέρᾳ ἄνεμος, ἐν δὲ τῇ τετάρτῃ χειμών; ἐν μὲν τῇ τρίτῃ, ὅτι τὸ συνιστάμενον μήπω πεπιεσμένον εὐκίνητόν ἐστιν· ἐν δὲ τῇ τετάρτῃ ἀδιάλυτον γενόμενον πύκνωσιν δηλοῖ.

794. κέρας φησὶν ὑψηλὸν τὸ βόρειον. ὁ δὲ λόγος, τὸ ὑψηλότερον αὐτῆς τῶν κεράτων ἐὰν ἐπινεύῃ ὡς ἐπὶ τὸ ἔμπροσθεν ὀξυνόμενον, προσδόκα τὸν βορέαν πνευσόμενον· ὅτε δὲ ὕπτιόν ἐστι τὸ προκείμενον κέρας, τὸν νότον· ἀντιπνεῖ γὰρ ὁ νότος τῷ βοῤῥᾷ, καὶ ὁ μὲν ὕπτιον ποιεῖ τὸ κέρας, ὁ δὲ βοῤῥᾶς πρηνές. ἢ τὸ μετέωρον κέρας τῆς σελήνης (τουτέστι τὸ βόρειον) ἐὰν μὲν ἐπινεύῃ, προσδέχου πνεῦσαι βορέαν, ἐὰν δὲ ὕπτιον, νότον. μετέωρον δὲ κέρας τὸ βόρειον κέκληκεν, ὡς πρὸς τὴν ἡμετέραν φαντασίαν.

796. διχοτόμου μὲν οὔσης τῆς σελήνης τὸ πρὸς εὐδίαν καθαρὸν περιλαμπές ἐστι, τὸ δὲ ἐρευθόμενον ἀνεμῶδες· τὸ δὲ διασπάσματα ἔχον καὶ μελανίας λαμβάνον ἐπομβρίαν δηλοῖ. ἐὰν δὲ τριταίαν οὖσαν ἀπὸ συνόδου ὅλην τὴν μηνοειδῆ κύκλος περιλάβῃ πανταχόθεν φοινισσόμενος, σφόδρα ἂν τότε χειμερινὸς εἴη καιρός, ὡς ἐν τοῖς πρώτοις (784) εἶπε "λεπτὴ δὲ καὶ εὖ μάλα ἐρευθὴς πνευματίη." ἐκ δὲ τῶν πνευμάτων τεκμαίρεται τὸ καὶ χειμῶνα γενέσθαι.

ὅταν ἴδῃς, φησίν, περὶ τρίτην ἡμέραν κύκλον τινὰ ἐρυθρὸν περὶ αὐτὴν ἔχουσαν, σημεῖόν ἐστι χειμῶνος· καὶ ὅσῳ μᾶλλον πυῤῥότερος ὁ κύκλος θεωρεῖται, χειμῶνα σημαίνει σφοδρότερον. ἢ ἐὰν αὐτὴν τριταίαν οὖσαν κύκλος περισχῇ ἐρευθόμενος πανταχόθεν, χειμῶνα γενησόμενον ἴσθι. σαφὴς δὲ ἡ τούτου αἰτία· συγκαταδυόμεναι γὰρ αἱ ἀκτῖνες τῆς σελήνης ὑγροῖς τοῖς νέφεσι, κωλύονται μὲν ἐξικνεῖσθαι μέχρι ἡμῶν διὰ τὴν παχύτητα τῶν νεφῶν, αὐτὸν δὲ τὸν κύκλον τὰ νέφη διαυγοῦσι καὶ ἀλδαίνουσι.

799. περισκόπει δὲ ἐς τὴν πανσέληνον καὶ ἐς ἀμφότερα αὐτῆς τὰ

Digitized by Google

διχάσματα, αὐξομένης τε καὶ πάλιν ἐς μηνοειδῆ β' ἐρχομένης. πληθὺν μὲν οὖν τὴν πανσέληνον λέγει, τὴν διχόμηνον (πεπλήρωται γὰρ τὸ τηνικαῦτα φωτός), ἀμφότερον δὲ διχόωσαν τὴν διχότομον ἐξ ἀμφοτέρων, ἵνα λέγῃ τὴν ἀπὸ συνόδου ὀγδοαίαν οὖσαν διχότομον, καὶ τὴν ἐν τῇ ἀποφθίσει ἑτέραν διχότομον, ἥν φασιν ἀπιόντος τρίτην. ὁ δὲ λόγος, ὅταν τὴν σελήνην διχότομον ἴδῃς ἀμφότερον (δὶς γὰρ τοῦ μηνὸς γίνεται τοιαύτη), σκέψαι τὴν χρόαν αὐτῆς ἐν ταῖς φαύσεσιν· ὅταν μὲν γὰρ καθαρὰ ᾖ δι' ὅλου τοῦ κύκλου, εὐδίαν σημαίνει, ἐρυθρὰ δὲ ἀνέμους· ὅταν δὲ ἄλλο μέρος τοῦ κύκλου μελαίνηται, ὄμβρον δεῖ προσδέχεσθαι.

805. οὐ πάσαις, φησί, ταῖς ἡμέραις ἐφαρμόζεται τὰ σημεῖα ταῦτα, ἀλλὰ τὰ μὲν περὶ τρίτην ἢ τετάρτην ἡμέραν γινόμενα τοῦ μηνὸς σημεῖα μέχρι ὀγδόης δεῖ παρατηρεῖν (τουτέστιν αὐξανομένης διχοτόμου), ἀπὸ δὲ διχοτόμου μέχρι πανσελήνου, καὶ ἀπὸ πανσελήνου μέχρι διχοτόμου φθίνοντος μηνός, εἶτα ἀπὸ ταύτης μέχρι ἡμερῶν πρὸ τῆς συνόδου τριῶν ἢ τεσσάρων. ἢ τὸ σημεῖον τὸ γιγνόμενον ἀπὸ τρίτης ἢ τετάρτης ἡμέρας τῆς σελήνης, μὴ ἔλπιζε τοῦτο ἕως τέλους ἐκβῆναι, ἀλλὰ τὰ ἀπὸ τρίτης ἢ τετάρτης ἕως ὀγδόης, τὰ δὲ ἀπὸ ὀγδόης ἕως πεντεκαιδεκάτης, τουτέστι διχομήνου οὔσης.

806. ἀλλ' ὅσα μέν: ἤγουν τὰ μὲν ἀπὸ τρίτης ἢ τετάρτης μέχρι ὀγδόης, τὰ δὲ ἀπ' αὐτῆς μέχρι πεντεκαιδεκάτης, ἀπὸ δὲ ταύτης μέχρι τῆς δευτέρας διχοτόμου, ἀφ' ἧς μέχρι τρίτης ἢ τετάρτης φθινούσης· συμπίπτει γὰρ οὕτω κατὰ τάξιν αὐτά. τούτων δὲ αἰτίαν οἱ Πυθαγορικοὶ τὸν ζ' ἀριθμὸν ὑποτίθενται, φυσικώτατόν τε καὶ θαυμαστὸν εἶναι λέγοντες. τοῦ δὲ ἐν διαφόροις μέρεσι μελαίνεσθαι τὴν σελήνην αἴτιον τὸ τὸ μὲν πλησίον τοῦ ἄστρου λευκὸν φαίνεσθαι διὰ τὴν τοῦ φωτὸς ἐπικράτειαν, τὸ δὲ ἑξῆς τούτου μέλαν διὰ τὴν πρὸς τὰ νέφη παράθεσιν.

811. ἐὰν δὲ κύκλῳ περὶ πᾶσαν τὴν σελήνην ἅλωαι κείμεναι περιφέρωνται, ἢ β' ἢ γ' ἢ δ', ἐπεὶ γίνονται πολλάκις καὶ δ', ἀπὸ μὲν τῆς μιᾶς, ἐὰν μὲν ῥήγνυται, ἄνεμον ἀπὸ τῆς χύσεως προσδοκᾶν (ῥηγνυμένην δὲ τὴν διαχεομένην λέγει), ἐὰν δὲ κατ' ὀλίγον μαραίνηται, γαλήνην δεῖ προσδοκᾶν. ἐὰν δὲ β' γίνωνται περὶ αὐτὴν κύκλοι, χειμῶνα σημαίνει· ἐὰν δὲ καὶ γ' ἢ καὶ δ', μείζονα τὸν χειμῶνα. καὶ τὰ μὲν περὶ τὴν σελήνην λαμβανόμενα σημεῖα ἐπὶ τοῦ κατασήματος τοῦ ἀέρος ταύτην ἔχει τὴν κατάληψιν. τῶν δὲ γινομένων καὶ ἐν τῷ μετεώρῳ συνισταμένων, μεταξὺ τοῦ οὐρανοῦ καὶ τῆς γῆς, τὰ μὲν κατ' ἔμφασιν ἐστι, τὰ δὲ μικτά, τὰ δὲ καθ' ὑπόστασιν, κατ' ἔμφασιν μὲν οἷον ἶρις, μικτὰ δέ, παρήλιος, καθ' ὑπόστασιν δὲ κομῆται, πωγωνίαι, δοκίδες, λαμπάδες, ἄττοντες. τὰς δὲ ἅλωας τῷ σχήματι κυκλοτερεῖς διαγράφουσι, καὶ ἔστιν ἄλλος περὶ τὴν σελήνην κύκλος, καὶ αὐτὴ ἐν μέσῳ ἀμυδροτέρα φαίνεται. ἡ τοίνυν ὄψις κατὰ τὴν ἔνστασιν τοῦ ἀέρος τραχέσι μὲν προσπεσοῦσα αὐτοῦ πως κα-

Digitized by Google

ταπαύεται, μηκέτι λαμβάνȣσα ἑτέρας φορᾶς ἀρχήν· λείοις δὲ καὶ ὁμαλοῖς προσφερομένη, οἷά ἐςι τὰ ἔσοπτρα καὶ ὕδατα, ἤτοι ἐνδοτέρω διαδύεται οἱονεὶ ἐγκατακλωμένη, ἢ εἴπερ τȣ̃το ἀδυνατεῖ ποιεῖν δι᾽ ἀντιτυπίαν τῶν σωμάτων, ἀνακλᾶται, ἐμφανίζȣσα τὰ κατ᾽ ἐκεῖνον τὸν τόπον ὁρώμενα, ἀφ᾽ ȣ̃ καὶ τὴν ἀρχὴν τῆς ἀνακλάσεως ποιεῖται. ὅταν τοίνυν περί τι ἄςρον νέφη συςῇ συνεχῆ καὶ κοῖλα, ἐνταῦθα δὲ ὁ ἀὴρ περὶ ταῦτα, εἶτα κατάκλασιν σχῇ εἰς αὐτὸ τὸ ἄςρον, ἐμφαίνεται τȣ̃το καθ᾽ ἑκάςην ἀνάκλασιν· καὶ ȣ̃τως ἡ ἅλως ἀποτελεῖται. καὶ τὸ μὲν πλησίον τȣ̃ ἄςρȣ φαίνεται λευκὸν διὰ τὴν τȣ̃ φωτὸς ἐπικράτειαν, τὸ δὲ ἔξω τȣ́τȣ μέλαν διὰ τὴν πρὸς τὰ νέφη παράθεσιν. γίνεται δὲ περὶ τὴν σελήνην. καὶ ἐὰν μία γένηται, εὐδίαν προσδόκα (διαλύεται γὰρ ἐκ τȣ̃ κατ᾽ ὀλίγον ἡ πύκνωσις), εἰ δὲ ῥήγνυται, ἄνεμον ἐξ ἐκείνȣ τȣ̃ μέρȣς καθ᾽ ὃ τὴν ῥῆξιν λαμβάνει. εἰ δὲ β΄, χειμῶνα προσδόκα. καὶ ἔτι μείζονα, ἐὰν γ΄· καὶ ἔτι μᾶλλον μελαινομένη· καὶ ἔτι μᾶλλον, εἰ ῥήγνυται. ἡ δὲ αἰτία, διότι διακρȣομένη μᾶλλον ἁπλȣ̃ται, μὴ δυναμένη διικνεῖσθαι· διὸ καὶ πλείονα τὴν ὑποκειμένην παχύτητα τȣ̃ ἀέρος δεικνύει. ȣ̓ μόνον δὲ περὶ σελήνην ἀλλὰ καὶ ἥλιον γίνεται καὶ ἀςέρας. ὁρίζεται δὲ ȣ̃τως ἅλως, ἔςιν ὑγροῦ τοῦ ἀέρος ἐπικειμένȣ καὶ παχέος ὄντος φαντασία φωτὸς κυκλοειδȣ̃ς, περὶ τὸν ἥλιον καὶ τὴν σελήνην συνιςαμένη. ταῦτα μὲν δὴ περὶ τῶν ἀπὸ σελήνης σημείων.

819. πληρώσας τὸν περὶ τῶν τῆς σελήνης τεκμηρίων λόγον ἐπὶ τὰ τȣ̃ ἡλίȣ σημεῖα ἔρχεται, ἅπερ καὶ αὐτὰ ἀκολȣ́θως καὶ ἀκριβῶς διδάσκει. τὸ δὲ ἑξῆς, περὶ τȣ̃ ἡλίȣ, φησί, μελέτω σοι ἑκατέρωθεν πορευομένου· τῷ γὰρ ἡλίῳ μᾶλλον τῆς σελήνης ἐπίκειται τεκμήρια ἐοικότα καὶ ἁρμόζοντα τοῖς σκοπȣ̃σι τἀληθῆ. καὶ δύνοντος ȣ̃ν καὶ ἀνατέλλοντος (τȣ̃το γάρ ἐςι τὸ ἑκάτερθεν ἰόντος) σκόπει· καὶ γὰρ ἀνατέλλοντος αὐτȣ̃ ἔςιν ἰδεῖν τεκμήρια καὶ δυομένȣ ὁμοίως. παρατήρει ȣ̃ν, φησί, μάλιςα τὰ περὶ τὸν ἥλιον γινόμενα σημεῖα· καὶ γὰρ ἀνατέλλων καὶ δύνων ἀληθῆ τεκμήρια μᾶλλον παρέχει. διὰ τί δὲ τὰ τȣ̃ ἡλίȣ σημεῖα βεβαιότερα τῆς σελήνης; ἐπειδὴ πολλὴν ἔχων ἰσχὺν πρὸς τὸ διαλύειν ταῖς ἀκτῖσι τὰ ὑποπίπτοντα παχέα, νικώμενος ὑπ᾽ αὐτῶν μείζονα τὸν χειμῶνα προαγγέλλει. ἢ ὅτι αἱ τοῦ ἡλίου πρὸς τὸν ἀέρα διαφοραὶ κυριώτεραι τῶν τῆς σελήνης εἰσί· δυναςεύων γὰρ ἡμέρας σαφέςερα δείκνυσι τὰ τεκμήρια. ἢ ὅτι λαμπρότερός ἐςι, καὶ εἰ μὴ μεγάλη καὶ ἰσχυρὰ τοῦ ἀέρος εἴη μεταβολή, ȣ̓κ ἂν κρατηθείη· τὰς γὰρ μικρὰς καὶ ἐλαφρὰς ἀναςέλλει. οὕτω Πλούταρχος. διὰ τί δὲ ἀνατέλλοντος μόνον καὶ δύνοντος, καὶ ȣ̓ καὶ μεσȣρανȣ̃ντος; ἢ ὅτι τότε φαίνεται διὰ τὴν ἐνεργείᾳ ἀέρος τȣ̃ δεχομένȣ αὐχμὴ καὶ μεταβολὰς διὰ τὰς ἀναθυμιάσεις, ἃς ἡ γῆ ἀναδίδωσι, τȣ̃ ἡλίȣ ταῦτα κινȣ̃ντος. ἐξαρθεὶς δὲ καὶ ὑψωθεὶς τὸ οἰκεῖον αὐτȣ̃ χρῶμα εἰλικρινὲς ἐμφαίνει.

822. ἐὰν μέλλοντος αὐτȣ̃ ἀνατέλλειν ἴδῃς τὸν κύκλον μὴ ἔχοντα

Digitized by Google

λαμπρὸν καὶ εἰλικρινὲς τὸ φῶς, γίνωσκε χειμῶνα ἐπιγενησόμενον· ἐὰν δὲ δύνειν μέλλων καθαρὸς καὶ ἀνεπιθόλωτος ἐπὶ τὴν δύσιν χωρῇ, τῆς ἑξῆς ἡμέρας εὐδίαν προσδόκα· ὅταν δὲ μέλλοντος ἀνατέλλειν κοιλότητος φαντασίαν ὁ κύκλος ἐμφαίνῃ, καὶ τῶν ἀκτίνων τινὲς μὲν πρὸς νότον τινὲς δὲ πρὸς βοῤῥᾶν τρέπωνται, τινὲς δὲ καὶ κατὰ μέσον τὸν κύκλον, ἄνεμον ἢ ὄμβρον δεῖ προσδοκᾶν. τῷ δὲ ἀπαγορευτικῷ μὴ ἐξ ἀρχῆς χρησάμενος ἐμφαίνει τὸ ἀπευκταῖον, καὶ φησί, μηδαμῶς ποικίλος καὶ κατάστικτος φανῇ σοι ὁ τοῦ ἡλίου κύκλος νεωστὶ ἀνατέλλοντος, ὁπόταν εὐδιεινῆς ἡμέρας εἰς χρείαν ἔλθῃς. διὰ γὰρ τὴν τοῦ ἀέρος παχυμέρειαν ἐμπίπτων ὁ ἥλιος ἀποτελεῖ τὴν ἶριν ταύτην ποικίλην καὶ κατάστικτον οὖσαν, περὶ ἧς καὶ ἑξῆς διαλαμβάνει. τοῦτο δὲ συμβαίνει διὰ τὴν τῶν ἀνέμων ἐπιπρόσθησιν, ἥτις οὐκ ἐᾷ καθαρὸν ἡμῖν φαίνεσθαι αὐτόν. καθαρὸς μέντοι, φησίν, ἀνατέλλων καὶ μηδὲν ἔχων σημεῖον εὐδίας ἐστὶ σημαντικός. ὁμοίως κἂν δύνῃ καθαρὸς καὶ ἀνέφελος, τὴν ἐπιοῦσαν ἀγγέλλει ἡμέραν εὐδιεινήν. εἴθε δέ, φησί, φαίνοιτο λιτὸς ἀπάντῃ (824). ὁ γὰρ λιτὸς καὶ ἁπλοῦς διὰ καθαροῦ ἀέρος στίλβει· διὸ καὶ εὐδίας ἐστὶ σημαντικός.

825. ὁ νοῦς οὕτως. εἰ κατὰ τὸ δειλινὸν καθαρὸς φαίνοιτο καὶ ἀνέφελος δύνοι, καὶ ἠοῦς ἐπερχομένης ἤγουν ἐπὶ τὴν αὔριον εὐδία ἔσται. δείελον δέ φησιν αὐτόν, ἐπειδὴ ἀπόκλισιν ἀπολαμβάνων ἀμβλεῖαν ποιεῖται τῆς ἀκτῖνος καὶ λείαν τὴν ἐπαφήν, μαραίνεται γὰρ τὰ τῆς θερμότητος· διὸ καὶ δείελος ἐκλήθη ὡς ἐνδεῶς ἔχων τῆς ἕλης ἤγουν τῆς θερμασίας. ὅταν οὖν μάλιστα τοῦ θερμοῦ ἐξασθενοῦντος διαφανὴς ὁ ἀὴρ ᾖ, ἔοικε κεκρατῆσθαι βιαίως ἡ ἄγουσα τὰ νέφη περίψυξις· διὸ καὶ εὐδίας ἐστὶ τὸ σημεῖον. βουλύσιος δὲ ὥρην τὴν δύσιν κέκληκε. μαλακὴν δὲ αἴγλην (826), ἐπειδὴ τὸ πολὺ τοῦ πυρώδους αὐτοῦ πρὸς ἑσπέραν πέπαυται· τοῦ γὰρ περὶ αὐτὸν ἀέρος μηδεμίαν ἔχοντος πύκνωσιν, ἀλλ' ὄντος ἀτρέπτου, καθαρὰ καὶ ἡ ἀνατολὴ καὶ ἡ δύσις γίνεται αὐτοῦ.

828. αἱ ἐν τῷ ἡλίῳ κοιλότητες οὐκ εἰσὶν αὐτοῦ, φαντασίαι δέ εἰσι τῆς ὄψεως κατ' ἐπιπρόσθησιν ζοφεροῦ ἀέρος· οὐ γὰρ τὸ μέσον ὁρᾶται ἀλλ' ἡ κύκλῳ ἀψίς· λαμπρὰ δὲ οὖσα δοκεῖ περιφεύγειν εἰς τὸ ἐκλιπὲς ὡς ἔμφασιν κοιλότητος παρέχειν. ὃν τρόπον γὰρ οἱ ζωγράφοι ἀντρώδεις τόπους γράφοντες φωτὶ τραχύνουσι τὴν ὄψιν, ἅτε φύσει τοῦ μὲν λαμπροῦ προβάλλοντος ἔξω καὶ διωθοῦντος τὴν φαντασίαν, τοῦ δὲ μέλανος ὑποσκιάζειν καὶ βαθύνεσθαι δοκοῦντος, οὕτω καὶ περὶ τὸν ἥλιον τὸ φαινόμενον τῇ ὄψει κατὰ ἀντίφραξιν τοῦ ἀέρος ἐκκοπὴν τοῦ μέσου λαμπροῦ διὰ τὴν σκιὰν ποιεῖ ὑποφαίνεσθαι. ἢ ὅτι τὰ ἔμπροσθεν αὐτοῦ ἱστάμενα νέφη μελαινόμενα διὰ τὴν πολλὴν πύκνωσιν τὴν κοιλότητα ἀποτελεῖ· πέφυκε γὰρ πάντα τὰ διὰ τῶν μελάνων ὁρώμενα κοιλότητος φαντασίαν ποιεῖν. καὶ γὰρ καὶ οἱ ζωγράφοι, ὅσα μὲν βούλονται προσεχῆ δεικνύναι, τῷ λευκῷ ἀπογράφουσιν, ὅσα δὲ κοῖλα καὶ ἐν βάθει, τῷ μέλανι.

Digitized by Google

ἐὰν οὖν, φησί, τοιοῦτόν τι γένηται, ἢ τὰς ἀκτῖνας μὴ κατ' εὐθεῖαν φερομένας ἔχῃ ἀλλ' ἐσχισμένας καὶ τὰς μὲν τῇδε τετραμμένας τὰς δὲ τῇδε (ὅπερ συμβαίνει ὑπὸ τῆς τοῦ ἀέρος παχύτητος οὐκ ἐωμένων αὐτῶν κατ' εὐθεῖαν φέρεσθαι), ἢ ἄνεμον ἴσθι γενησόμενον ἢ ὑετόν. ἀπὸ κοινοῦ οὖν τὸ εὔδιος, ἵν' ᾖ, ἀλλ' οὐκ ἔςαι εὔδιος, ὅταν ἀνατέλλων κεκοιλωμένον ἔχῃ τὸ μέσον τοῦ κύκλου, δηλονότι ὥσπερ κακωθέντος τοῦ φωτός· ὃ δὴ συμβαίνει ἐκ τῆς τοῦ ἀέρος δυσκρασίας· ὥσπερ γὰρ καὶ ἐπὶ τῶν ὀφθαλμῶν, ὅταν συμβαίνῃ κοιλαίνεσθαι αὐτούς, δηλονότι ἐξασθενήσαντος τοῦ σώματος, ἢ ὥσπερ ὅταν βλέφαρον καταγαγόντες ἢ περιθλίψαντες τὴν ὄψιν τῷ λύχνῳ προσβάλλωμεν, οὐ φαίνεται συνεχῶς τὸ φῶς ἀλλὰ πλάγιαι καὶ σποράδες αἱ αὐγαί, οὕτως ὅταν ἀχλὺς ἢ νέφωσις ἀνώμαλος πρὸ τοῦ ἡλίου οὖσα περιθλίψῃ καὶ σείσῃ τὸν τῆς ὄψεως κῶνον εἰν λοξὰς ἀκτῖνας καὶ ῥομβοειδεῖς, ὃ πάσχομεν αὐτῇ τῇ αἰσθήσει, τοῦτο περὶ τὸν ἥλιον εἶναι δοκοῦμεν. οὕτω Πλούταρχος.

829. εἰ οὖν ἐκ τῆς τοῦ ἀέρος παχύτητος δι' ὅλου τοῦ κύκλου αἱ ἀκτῖνες ἀποφέρονται, καὶ αἱ μὲν πρὸς νότον αἱ δὲ πρὸς βοῤῥᾶν βάλλουσι, τὰ δὲ μέσα τοῦ δίσκου φαίνεται ἄνευ τινῶν ἀκτίνων, τότε δι' ὕδατος ὁ ἥλιος ἔρχεται ἢ ἀνέμου.

830. εἰ οὖν τὸ μέσον αὐτοῦ φαίνοιτο μόνον, τὸ δὲ ἑκατέρωθεν διὰ νέφους πυκνότητα μὴ ὁρῷτο, σχιζομένων τῶν ἀκτίνων καὶ πρὸς βοῤῥᾶν καὶ νότον πεμπομένων, καὶ τοῦτο σύνθημα πνεύματος ἢ ὑετοῦ.

832. κατανοεῖν δεῖ, φησί, τὰ περὶ τὸν ἥλιον σημεῖα ἐνατενίζοντας αὐτῷ τῷ κύκλῳ· οὕτω γὰρ γενήσεται σαφῆ τὰ τεκμήρια. ἐὰν οὖν, φησίν, ἐρευθὴς γένηται, οἵαν χροιὰν συμβαίνει γίνεσθαι πολλάκις περὶ τοῖς νέφεσι δύνοντος αὐτοῦ, ἢ μελανίζων, ὅταν μὲν ἀχλυωδέςερος θεωρῆται, ὕδωρ σημαίνει, ὅταν δὲ ἐρευθής, ἀνέμους· ὅταν δὲ ἀμφότερα τὰ σημεῖα περὶ τὸν ἥλιον φαίνηται, ὥστε μέρη μὲν αὐτοῦ τοῦ κύκλου μελαίνεσθαι μέρη δὲ φοινίσσεσθαι, τότε δεῖ καὶ ἄνεμον καὶ ὄμβρον προσδοκᾶν. ἢ ὅτι τὸ τοῦ ἡλίου φῶς, ὅταν καθαρὸν ᾖ, οὐ συγχωρεῖ ἀντωπεῖν τινὶ πρὸς τὰς ἀκτῖνας· ὅταν δὲ ἐξ ἀκρασίας ἀέρος ἐξασθενῇ, τότε δυνατὸν αὐτῷ προσβλέπειν. φησὶν οὖν, περισκέπτου εἰς αὐτὸν εἰ αἱ αὐγαὶ αὐτοῦ εἴκουσι τοῖς ὀφθαλμοῖς σου, καὶ ἐκ τούτου γνώσῃ, ἀκρασίας οὔσης, ὡς χειμῶνός ἐςι σύμβολον. ὁ οὖν πεπυκνωμένος ἀὴρ τῇ πρὸς τὸ φῶς μίξει ἐρυθραίνεται, καὶ διὰ λεπτότητα πρὸς γένεσιν ἀνέμων ὀξύῤῥοπός ἐςιν· ὁ δὲ συνηγμένος μᾶλλον ὡς ἐπιμελαίνειν οὐ μακρὰν ἐςι τῇ διαθέσει τῆς εἰς τὸ ὕδωρ μεταβολῆς.

833. τοῦ ἡλίου ἔξοχοί εἰσι καὶ εὐσύμβολοι αἱ σκοπιαί· οἷον τὸ σκοπεῖν εἰς ἥλιον καὶ ἐξ αὐτοῦ δέχεσθαι τεκμήρια ἄριςόν ἐςι. προεῖπε δὲ ἐν τοῖς ἀνωτέρω "ἡλίῳ καὶ μᾶλλον ἐοικότα σήματα κεῖται" (820).

834. εἰ δέ τι αὐτῷ ἢ ἔρευθος ἐπίκειται τοιοῦτον οἷον ἔχουσι καὶ αἱ νεφέλαι, ὅταν αὐτὸν τὸν ἥλιον περιτρέχωσι (λαμπόμεναι γὰρ ἐξ αὐτοῦ

Digitized by Google

τοιοῦτο σχῆμα ἀποτελοῦσι), σκόπει δὴ τὸ τοιοῦτο· καὶ ἔτι εἰ μελανεῖ, σκόπει ἀπὸ κοινοῦ. μελάντερον δὲ καὶ ζοφωδέστερον εἶναι δοκεῖ αὐτοῦ τὸ φῶς ἐκ τῆς πολλῆς τοῦ ἀέρος ὑποκειμένης ὑγρότητος. τὸ οὖν τεκμήριον τοῦ εἶναι αὐτὸν ζοφώδη ὑετοῦ ἔςω σοι σημεῖον, τοῦ δὲ ἐρυθρὸν ἀνέμων.

838. ἐὰν δέ, φησίν, ἀμφοτέροις τοῖς κατασήμασι, τῷ μέλανι καὶ τῷ ἐρυθρῷ, ἅμα καὶ κατὰ τὸ αὐτὸ ἐμπεριέχηται ὁ ἥλιος, καὶ τὸ μὲν αὐτοῦ μέλαν φαίνηται τὸ δὲ ξανθόν, ἐκ τοῦ ποικίλου δὴ τούτου ἀμφότερα προσδόκα, καὶ ὑετὸν ἐσόμενον καὶ ἄνεμον.

840. ἐὰν δέ, φησίν, ἀνιόντος τοῦ ἡλίου ἢ καὶ δύνοντος εἰς τὸν αὐτὸν τόπον συνίοιεν αἱ ἀκτῖνες ἢ νέφεσιν αὐτὸς εἴη πεπιεσμένος, τὸ τοιοῦτον ποιοῦ ὕδατος σημεῖον, κατανικωμένου δηλονότι τοῦ ἡλίου ὑπὸ τῆς περὶ τὰ νέφη παχύτητος. τὸ οὖν ἀ μ φ' ἐ ν ὶ π ε π λ ή θ ω σ ι ν (841) αὐτοῦ εἰς ἕνα τόπον περιςρέφωνται, ὅταν πεπλησμένος ὑπὸ νεφῶν ἧττον ἐκφαίνῃ τῆς θερμότητος τὰς ἀκτῖνας. τὸ δὲ ὕ δ α τ ί κ ε ν κ α τ ι ό ν τ ι, ἐὰν ἀνατέλλοντος, φησίν, ἢ δύνοντος τοῦ ἡλίου αἱ ἀκτῖνες ἐκ τῆς περιφερείας εἰς τὸ μέσον ἕλκωνται ἢ καὶ εἰς ἕνα τόπον συςρέφωνται, κωνοειδὲς τὸ σχῆμα ποιοῦσαι, ἢ ὁ κύκλος ὑπὸ τοῦ νέφους ἐπιπροσθῆται ἀνατέλλοντος καὶ δύνοντος, ὑετὸν δεῖ προσδοκᾶν.

845. καὶ ὅταν προανατείλῃ ὀλίγη νεφέλη τοῦ ἡλίου, εἶτα αὐτὸς ἐπιφέρηται κεχρωσμένος, ὑετὸν προσδόκα· οὐ γὰρ ἂν οὕτω ταῖς ὄψεσιν ἡμῶν προσέπιπτεν, εἰ μὴ ἐπεπάχυτο ὁ ἀήρ. ἢ οὕτως. ἐὰν ἀνατεῖλαι μέλλοντος τοῦ ἡλίου νεφέλη προανατέλλῃ μέλαινα ἐπισκιάζουσα, καὶ σχίζωνται περὶ αὐτὴν αἱ ἀκτῖνες μεσοσυλλαβοῦσαι τὴν νεφέλην καὶ χρώζουσαι, τὸ συντρέχειν εἰς ταύτην τὰς ἀκτῖνας ὑγρότητα κατηγορεῖ τοῦ ἀέρος· λεῖος γὰρ ὢν ἐπιταράττει τὴν ὄψιν, ὡς ἐν τῷ δακρύειν φαίνεται τὸ φῶς οὐ καθεςηκὸς ἀλλ' ἐφαλλόμενον καὶ τρομῶδες, εἴτε τοῦ λαμπροῦ ἐκ τοῦ ὑγραίνεσθαι σβεννυμένου περὶ αὐτήν, εἴτε κλωμένης πρὸς τὸ ὑγρὸν αὐτῆς διὰ τὴν ἀνωμαλίαν. ὁ δὲ λόγος ἄνωθεν (840) οὕτως. σκόπει χειμῶνος σημεῖον, ὅταν ἢ ἀνατέλλοντος ἢ δυομένου ἡλίου αἱ ἀκτῖνες συνέρχωνται καὶ ἐν ἑνὶ μέρει τοῦ δίσκου πᾶσαι πληρῶνται καὶ φαίνωνται· ἐκ γὰρ τῆς τοῦ ἀέρος παχυμεροῦς συςάσεως ἀνατρεπόμεναι αἱ ἀκτῖνες εἰς ἓν μέρος τοῦ δίσκου φαίνονται καὶ ἀφ' ἑνὸς μέρους φαίνουσιν. ἢ καὶ ὅταν ὑπὸ νεφῶν πιεσθεὶς ἔρχηται ἐπὶ τὰς ἀνατολὰς ἀπὸ τῆς νυκτός, ἢ ὅταν ἐξ ἀνατολῆς ἐπὶ δύσιν· τεκμήριον γὰρ ὡς ἐκεῖναι αἱ ἡμέραι ὑετοῦ εἰσί. καὶ ἔτι ὑετοῦ σημεῖον, ἐὰν πρὸ μὲν ἀνατολῆς ἡλίου νεφέλη ἀνέλθῃ, εὐθὺς δὲ μετ' αὐτὴν ἐκεῖνος ἀνατείλῃ.

847. περὶ τὰς ἀνατολὰς καὶ τὰς δύσεις δοκεῖ ὁ τοῦ ἡλίου κύκλος μείζων φαίνεσθαι. καὶ ἔςιν ἡ αἰτία τοιαύτη. αἱ τῆς γῆς περὶ ἀνατολὰς καὶ δύσεις ἀναθυμιάσεις ἀερώδεις εἰσὶ καὶ παχεῖαι· διὰ μέσων οὖν αὐτῶν αἱ ὄψεις προσβάλλουσαι τῷ ἡλίῳ παχύτερον δοκοῦσιν ὁρᾶν αὐτόν. ἀνιὼν δὲ ὁ ἥλιος καὶ ἀπὸ τῶν ἀναθυμιάσεων χωριζόμενος καὶ εἰς τὸ

Digitized by Google

ὕψος χωρων εὑρίσκει καθαρὸν τὸν ἀέρα, καὶ ταύτῃ δοκεῖ πάλιν ὁ κύκλος αὐτοῦ ἐλάττων φαίνεσθαι. ὅταν οὖν, φησίν, ὁ κύκλος πολὺς εὐρύνηται καὶ πλατύνηται τηκομένῳ καὶ διαλυομένῳ ὅμοιος ἀνερχομένου τοῦ ἡλίου, ἔπειτα μειῶται, εὐδιεινὸς ἂν δοκιμάζοιτο καθαροῦ ὄντος τοῦ ἀέρος. ὁ δὲ νοῦς, ἐὰν ἀνατέλλοντος τοῦ ἡλίου νέφος προανατεῖλαν κύκλῳ περιαγόμενον ἐπὶ πλέον εὐρύνηται, εὐδίαν προσδόκα· διαχεῖται γὰρ ὁ κύκλος οὗτος νικώμενος ὑπὸ τῶν ἡλιακῶν ἀκτίνων. τὸ δὲ ὅμοιόν φησι γίνεσθαι καὶ ἐὰν χειμῶνος ὠχρὸς δύηται, τῶν νεφῶν ὥσπερ διακαιομένων ὑπ' αὐτοῦ καὶ διαλυομένων. ἐὰν μέντοι γε δύνοντος αὐτοῦ ἐπισυνιστῶνται νέφη, τῇ ἑξῆς ὕδωρ προσδέχου· πιλουμένου γὰρ ἱκανῶς τοῦ ἀέρος ἡ μεταβολὴ αὐτοῦ γενήσεται εἰς τὴς συγγενεστάτην αὐτοῦ τοῦ ὕδατος φύσιν· καὶ γὰρ ἡ τῶν νεφῶν πύκνωσις οὐδέν ἐστιν ἄλλο ἢ πάχος ἀέρος ὑπὸ ὑγροῦ πεπαχυμένου. ἐντεῦθεν τὰ σημεῖα ἢ ὄμβρων γίνεται διὰ τὴν συγγένειαν ἢ ἀνέμων· καὶ γὰρ ὁ ἄνεμος οὐδὲν ἄλλο ἐστὶν ἢ ἀὴρ ῥέων καὶ ποιὰν λαμβάνων κίνησιν, ὅπερ ἐκ τῆς αὐτοῦ τροπῆς συμβαίνει γίνεσθαι.

851. ἀπὸ κοινοῦ τὸ εὔδιός κε φέροιτο. παραδίδωσι δὲ ἑτέραν κατάληψιν εὐδίας· ὅταν γὰρ διαλυομένης τῆς ὑγρότητος ἐκείνης καὶ παχύτητος τοῦ ἀέρος πρὸς δυσμὰς ὁ ἥλιος χωρῶν ὠχρὸν ἔχῃ τὸ φῶς, εὔδιός ἐστιν ὡς πρὸς τὴν τοῦ ἀέρος λοιπὸν διάλυσιν.

δυομένου δὲ τοῦ ἡλίου σκόπει εἰ ἔστι περὶ αὐτὸν νέφη συνεχῆ, ἃ δὴ ὕδατος ἡμερινοῦ μετὰ ταῦτά ἐστι σύμβολα, ἤγουν μετὰ τὴν νύκτα ἐκείνην καὶ τὴν ἑσπέραν, ὅτε συνίστανται περὶ τὸν ἥλιον τὰ νέφη. ἠμερινοῖο οὖν τῇ ἑξῆς ἡμέρᾳ φαινομένου.

853. ἐὰν δὲ δύνοντα τὸν ἥλιον ὑποσκιάζῃ μέλαινα νεφέλη, τὰ δὲ ἑκατέρωθεν αὐτοῦ περιλαμβάνωσιν ἀκτῖνες, ἴσθι κατὰ τὴν ὑστεραίαν ἐσόμενον ὑετόν. ἢ οὕτως. εἰ δύνοντα τὸν ἥλιον ἐπίπροσθεν ἱσταμένη νεφέλη ἐπισκιάζει, αἱ δὲ ἀκτῖνες αὐτοῦ ἑκατέρωθεν τοῦ νέφους σχίζονται, χειμῶνα προσδέχου· ἀδύνατος γὰρ γέγονεν ὁ ἥλιος διαχέαι τὴν πύκνωσιν. ἐντεῦθεν καὶ σχίζονται περὶ τὴν νεφέλην αἱ ἀκτῖνες τοῦ ἡλίου, τῆς κατ' εὐθεῖαν φορᾶς ὑπὸ τῆς περὶ τὸν ἀέρα πυκνώσεως διακοπτομένης. ἢ οὕτως. καὶ δὴ πρὸς δυόμενον τὸν ἥλιον ἀφορῶν, ἐὰν αὐτὸν σκιάζῃ νεφέλη μέλαινα τὴν χροιάν, αἱ δὲ ἀκτῖνες ἅπασαι κατὰ μέσον τὸν δίσκον ἑλισσόμεναι εἰς δύο μέρη τοῦ δίσκου διασχισθῶσι, καὶ αἱ μὲν ἐπὶ τοῦδε τοῦ μέρους αἱ δὲ ἐπὶ τοῦδε χωρήσωσιν, εἰς τὴν ἐπιοῦσαν ἡμέραν σκέπης ἂν χρῄζοις· χειμὼν γὰρ ἔσται. ἢ τὸ ὑποσκιάῃσιν (854) ὥστε δύνειν ποιεῖν αὐτὸν καὶ ἀμαυροῦσθαι μάλιστα, ὡς ὅταν σκιάζῃ κατ' εὐθὺ τῆς γῆς καὶ τοῦ ἡλίου ἡ σελήνη ἐν τῇ ἐκλείψει. ὅταν οὖν κατ' εὐθὺ τοῦ ἡλιακοῦ κώνου καὶ τοῦ γηΐνου ταῦτα ἴδῃς τὰ σημεῖα, χειμῶνα προσδόκα.

858. ἐὰν δέ, φησίν, ὁ ἥλιος αὐτὸς δίχα νεφελῶν δύνηται, ἀνωτέρω δὲ αὐτοῦ νεφέλαι ὑπάρχωσιν ἐρυθραὶ καταδύνοντος αὐτοῦ καὶ ἤδη δεδυκότος, εὐδίαν ἴσθι ἐκείνῃ τῇ νυκτὶ καὶ τῇ ἐπιούσῃ ἡμέρᾳ γενησομέ-

Digitized by Google

νην. αἴτιον δὲ τούτου τὸ μὴ σφόδρα πυκνὰ εἶναι τὰ νέφη ἀλλ' ἀραιά, καὶ οὕτως ἐνδιαυγεῖσθαι. ἐξ αὐτοῦ δὲ τοῦ ἡλίου νεφέλαι φαίνονται καθάπερ χρυσίζουσαι, ὅταν σφόδρα αὐταὶ καθαρὸν δέχωνται τὸ φῶς· ὅταν δὲ πυρῶνται, οὐ πάνυ τι καθαρὸν δέχονται τὸ φῶς, ἀλλ' ἔστι μὲν εὐδία τῇ ἐπιούσῃ νυκτί τε καὶ ἡμέρᾳ, οὐχ ἑξῆς δὲ ἄλλων ἡμερῶν· ὅταν δὲ χρυσίζωσι, καθαρὸν ἐδέξαντο τὸ φῶς, διὸ καὶ ἑξῆς εὐδιεινὸς ὁ καιρὸς ἔσται. ῥόον δὲ ἑσπέριόν φησι τὸν ὁρίζοντα. ἐὰν οὖν καθαρὰν καὶ ἀνεπιθόλωτον νέφους ὁ ἥλιος τὴν δύσιν ποιήσῃ, αἱ δὲ πλησίον τοῦ ὁρίζοντος νεφέλαι ἐρυθραί, προσδόκα εὐδίαν.

862. μαραινομένησιν: ἤγουν σκοτεινοτέραις. ὅταν γὰρ ἐπὶ μιᾶς καθέτου τὰ τρία ἄστρα γένηται, γῆ ἥλιος σελήνη (καλείσθω γὰρ καὶ ἡ γῆ ἄστρον), ἀνάγκη τότε, εἰ μὲν μέση ἡ γῆ εὑρίσκοιτο, σελήνης ἔκλειψιν γενέσθαι, ἐμπιπτούσης αὐτῆς εἰς τὸν σκιερὸν κῶνον ὃν ἀποτείνει ἡ γῆ, μέσης δ' αὖ τῆς σελήνης εὑρισκομένης, ἡλίου μέρει τινὶ ἐπιπροσθούσης, τὸ τηνικαῦτα ἡλίου σκότωσιν ἐπιγενέσθαι, ἣν δι' ἄγνωσίαν ἔκλειψιν οἱ παλαιοὶ κεκλήκασι. κυρίως δὲ καὶ τῇ λέξει κέχρηται εἰπὼν (864) ὅτε σκιάῃσι κατ' ἰθύ, ὅπερ ἐστὶν ἐπιπροσθουμένῳ αὐτῷ ὑποθεούσης τῆς σελήνης· ὅλος δὲ οὐδέποτε ἐκλείπει διὰ τὸ πολλῷ μείζονα εἶναι τῆς σελήνης καὶ δὴ μὴ ἐπισκοτεῖσθαι πάντα ὑπ' αὐτῆς. ἢ οὕτως. ὅτε κατὰ κάθετον ἰσομοιρίᾳ ἡ σελήνη πρὸς τὸν ἥλιον ἔρχεται, τότε ἀποφράττει αὐτὸν καὶ ἀφανῆ ποιεῖ, καὶ γίνεται τὸ τηνικαῦτα ἡλίου ἔκλειψις ἐπὶ β' ἢ καὶ γ' ὥρας, ἕως οὗ ἡ σελήνη τὴν ἰσομοιρίαν παραδράμῃ. γίνεται δὲ τοῦτο πολλάκις καὶ δεύτερον τοῦ ἐνιαυτοῦ, πολλάκις καὶ διὰ πολλοῦ τοῦ χρόνου πρὸς τὴν τῆς σελήνης κίνησιν. καὶ γίνεται μὲν αὐτῷ κατὰ μῆνα ὑπὸ τὴν ἰσομοιρίαν ἡ σελήνη, ἀλλ' οὐ κατὰ κάθετον τῆς μέσης γραμμῆς τοῦ ζῳδιακοῦ· ἀλλὰ καὶ κατὰ πλάτος κινεῖται, ἢ τὰ πρὸς βορρᾶν ἡλίου ἢ τὰ πρὸς νότον. ὅτε μέντοι ἰσομοιρεῖ κατὰ κάθετον, αὐτὴ ἐν τῇ ἑβδόμῃ ζώνῃ οὖσα, αὐτῷ δὲ ἐν τῇ δευτέρᾳ ὄντι κατὰ κάθετον, ἀφανῆ ποιεῖ αὐτόν, καὶ ἀκούει ἡλιακὴ ἔκλειψις, παρ' οἷς τελεία, παρ' οἷς μερική, παρ' οἷς οὐδὲ ὅλως περικνουμένη ἡ ἀκτὶς παρέχει τι τοιοῦτον. τὸ δὲ οἷον ἀμαλδύνονται (864) ἀντὶ τοῦ ὥσπερ ἀμαυροῦνται, ὅτε ὑπὸ τῆς σελήνης ἐκλείπει· σφόδρα γὰρ ὥσπερ μαρανθεῖσαι καὶ ἀποσβεσθεῖσαι δρῶνται.

864. κατ' ἰθύ: οἷον κατὰ κάθετον γῆς καὶ ἡλίου· καὶ γὰρ τῆς ὄψεως ἡμῶν πολὺ μείζων ἐστὶν ἡ σελήνη, ὥστε ἀποφράττει ἡμῶν τὰς ὄψεις μὴ ὁρᾶν αὐτόν, ἐν ἰσομοιρίᾳ κατὰ κάθετον γινομένη. αἱ δὲ ἡλιακαὶ ἐκλείψεις φθίνοντος μηνὸς γίνονται. τὸ δὲ ἰσαμένη (865) ἤγουν ὅταν κατὰ τὸν οἰκεῖον δρόμον ἡ σελήνη ἐν μήκει γενομένη ἐπισκιάζῃ τὸν ἥλιον, ἰσαμένη κατ' εὐθὺ τῆς γῆς καὶ τοῦ ἡλίου.

866. οὐδ' ὅταν φανῆναι αὐτῷ ἐπέχοντι καὶ μέλλοντι ἀνατεῖλαι πρὸ τοῦ ὄρθρου φανῶσι νεφέλαι ὑπέρυθροι πανταχοῦ ἐν τῇ ἀνατολῇ, ἐν

Digitized by Google

ἐκείνῃ τῇ ἡμέρᾳ ἄῤῥαντοι μένουσιν αἱ γυῖαι, ἀλλ' ὑετῷ περιῤῥαίνονται ὄμβρου κατ' ἐκείνην τὴν ἡμέραν γενομένου.

869. οὐδ' ὅταν τοῦ ἡλίου μέλλοντος ἀνατέλλειν, ἀκμὴν δὲ ὄντος ὑπὸ τῷ ὁρίζοντι, αἱ ἀκτῖνες αὐτοῦ περὶ τὸν ὄρθρον προαναφερόμεναι θεωρῶνται ὑπονέφελοι καὶ ζοφώδεις, εὐδίαν δεῖ προσδοκᾶν, ἀλλ' ὄμβρον καὶ ἄνεμον, μελαινομένων μὲν ἄγαν ὄμβρον, ἐπ' ὀλίγον δὲ σκιαζομένων καὶ ὁμοίων τυγχανουσῶν ταῖς διαυγέσι νεφέλαις ἄνεμον. ὁ δὲ νοῦς, μηδὲ τοῦ ἡλίου ἔτι ἐν τῷ ἀνατέλλειν ὄντος, ὁπόταν ἀπὸ τοῦ δίσκου προπεμφθεῖσαι αἱ ἀκτῖνες, πρὶν τελέως ἡμέραν φανῆναι, ὥσπερ ἐσκιασμένον καὶ οὐ πάνυ φαιδρὸν φαίνωσιν, ὕδατος ἐσομένου ἢ ἀνέμου ἐπιλανθάνου· ἀλλ' εἰ μὲν αἱ ἀκτῖνες ἐκεῖναι πάνυ ζοφώδεις φαίνονται (τοῦτο γάρ ἐστι τὸ κνέφαος μᾶλλον 872), ἐπὶ πλείονι ὕδατι τὴν σημασίαν ἔχουσιν· εἰ δὲ ὀλίγος γνόφος καὶ ὀλίγη ἀμαύρωσις περὶ τὰς ἀκτῖνας κεῖται, ὁποία περὶ τὰς πεπιλημένας νεφέλας ἀμαύρωσις φαίνεται, ἐπερχομένου ἀνέμου σημεῖον. τὸ δὲ ἐπίσκιοι (870) οὐ καθαραί, ἀλλ' οἷον σωματοειδεῖς καὶ παχεῖαι. τὸ δὲ μᾶλλον κνέφαος φαρέοιντο (872) ἀντὶ τοῦ μᾶλλον μελαινόμεναι· τότε δὲ ὕδωρ σημαίνουσιν. εἰ δὲ βραχύς τις σκιασμὸς περὶ αὐτὰς εἴη, οἷος ἐκ μαλακοῦ νέφους ἐπιγίνεται, ἄνεμος ἔσται.

877. καὶ περὶ τὸν ἥλιον ἅλωνες συνίστανται, ὥσπερ καὶ ἐπὶ τῆς σελήνης ἔφημεν. ὁ δὲ λόγος, οὐδὲ μὴν πλησίον τοῦ ἡλίου μελαινόμεναι ἅλωνες εὐδίας εἰσὶ σημαντικαί, πλησίον δὲ μᾶλλον τυγχάνουσαι καὶ διηνεκῶς μέλαιναι ἐπίτασιν ἔχουσι χειμῶνος· πολλῷ δὲ μᾶλλον, ἐὰν δύο τυγχάνωσι. τὸ δὲ ἀστεμφέες (878) ἀμετακινήτως καὶ σκληρῶς· τοιαῦται γὰρ οὖσαι μᾶλλον ποιοῦσι χειμῶνα. εἰ γάρ, ὡς προείπομεν, ὁ χειμερινὸς ἀὴρ ἀπὸ τοῦ πλήθους ἀναδίδωσιν αὐτὰς εἰς οὐρανόν, αὗται δὲ ἐλθοῦσαι ἐγγὺς ἡλίου μὴ καταφλεχθῶσιν ἀλλ' ἐκ τῆς στεῤῥότητος μείνωσιν οὕτω, πάντως μέγαν πάνυ χειμῶνα σημαίνουσι, καὶ μᾶλλον, ἐὰν δύο γένωνται.

880. διὰ τούτων παραινεῖ ἐπιμελέστερον ἀεὶ σκέπτεσθαι περὶ τὸν ἥλιον ἀνατέλλοντα ἢ μέλλοντα δύνειν, εἰ θεωρεῖται τὰ παρήλια λεγόμενα νέφη, καὶ παρατηρεῖν πότερον τὸ πρὸς βοῤῥᾶν νέφος ἐρυθραίνεται ἢ τὸ πρὸς νότον, ὡς τῆς ἀπὸ τούτων σημειώσεως βεβαίου οὔσης. ὅταν γὰρ ἐξ ἑκατέρων μερῶν (βορέου καὶ νότου) τὰ παρήλια φοινισσόμενα φαίνοιτο, ἐπίγειον χειμῶνα βαρὺν σημαίνει· ἐὰν δὲ μόνον τὸ βόρειον τοιοῦτον ᾖ, βορέαν ἄνεμον μηνύει· τὸ δὲ ἀπὸ τοῦ νότου νότον. ἐὰν δέ ποτε καὶ σταλαγμοὶ μεγάλαι ῥαγδαῖοι περὶ τὴν ἑσπέραν γένωνται, χειμῶνα σημαίνουσιν· εἶναι μέντοι ἀκριβέστερα τὰ περὶ τὴν δύσιν τοῦ ἡλίου συνιστάμενα σημεῖα. παρήλια δὲ ὁ *Ποσειδώνιός* φησι νέφη εἶναι στρογγύλα περὶ τὴν τοῦ ἡλίου ἔλλαμψιν, ἐκ τοῦ ἡλίου λαμπόμενα· οὐ γὰρ ἰδίῳ φωτὶ κέχρηται ἀλλὰ τῷ τοῦ ἡλίου, ὥσπερ καὶ ἡ σελήνη· διὸ καὶ παρή-

λια εἴρηται, τῷ τε ςρογγύλα εἶναι καὶ τῷ ἐλλάμπεσθαι ὑπὸ τοῦ ἡλίου. ὅμοια οὖν αὐτὰ γίνεται παρεπόμενα τῷ ἡλίῳ, παρ' ὅσον ἐκ πλαγίου αὐτοῦ ὁρᾶται. διὸ καὶ λευκὰ φαίνεται· περὶ γὰρ ἔλλαμψιν τοῦ ἡλίου τὰ τοιαῦτα αὐτῷ συμπίπτει. πέφυκε γὰρ ἐκ πλαγίων τοῦ ἡλίου ταῦτα γίνεσθαι, ἐπεὶ τὰ μὲν ὑπὸ τὸν ἥλιον νέφη ταχεῖαν λαμβάνει τὴν διάλυσιν, τὰ δὲ πολὺ ἀπηρτημένα οὐ δύναται τὴν ἀνάκλασιν τῶν ἀκτίνων ποιεῖσθαι· ἐκ δὲ τῶν πλαγίων ῥᾳδίαν τὴν ἔλλαμψιν συμβαίνει γίνεσθαι· ὅθεν καὶ δυομένου ἢ ἀνιόντος τοῦ ἡλίου ταῦτα συνίςαται, τῷ λοξὰς ἐμπίπτειν εἰς αὐτὰ τὰς ἀκτῖνας μὴ οὔσας καθετικάς. συνίςαται δὲ ταῦτα ἑκατέρωθεν τοῦ ἡλίου πολλάκις. Ἀριςοτέλης δὲ τὰ παρήλιά φησιν ἔμφασιν εἶναι μὴ ἔχοντα ὑπόςασιν. ἢ παρήλια καλοῦνται νεφέλαι αἱ τῷ ἡλίῳ παρεοικυῖαι οὐ μόνον κατὰ τὴν χροιάν, ἀλλὰ καὶ κατὰ τὸ κυκλοτερὲς τοῦ δίσκου αὐτοῦ. πλησίον δὲ αὐτοῦ τοῦ ἡλίου εἰσὶν αἱ νεφέλαι αὗται, καὶ ἐξ αὐτοῦ φωτιζόμεναι τὴν χροιὰν αὐτοῦ ἀπομιμοῦνται. εἰσὶν οὖν κυκλοτερεῖς τὸ σχῆμα· διὸ παρήλιοι ἐκλήθησαν φερωνύμως· παρεοίκασι γὰρ ἡλίῳ. ἢ παρήλιά ἐςιν ἔμφασις ἡλίου περιφερής, ὁμοία καὶ ἴση αὐτῷ, πεπιλημένου νέφους τὰς ἀκτῖνας ὑποδεχομένου, καὶ διὰ τῆς ἐκλάμψεως ἡλιοειδῆ παρέχοντος τὴν φαντασίαν καὶ οἷον ἂν φλογοειδῆ, καὶ εἰς ἓν συνηγμένην, καὶ μεταξὺ μηδὲν παραλείπουσαν διάςημα, παρεπομένην τῇ τοῦ ἡλίου περιφορᾷ. ἢ τὰ παρήλια καλεῖται ἀνθήλια· νέφη δέ εἰσι ςρογγύλα, ἀντιλάμποντα τῷ ἡλίῳ, ὥστε δοκεῖν ἡλιοειδῆ ὄντα ἥλιον εἶναι. γίνεται δὲ τὰ παρήλια ἀπὸ τοῦ περὶ τὴν θάλασσαν ὑγροῦ ἀέρος, ὃς ἀναδιδόμενος εἰς νέφη διαφορεῖται· ψυχρὸς δὲ ἄνεμος ἐμπεσὼν πήγνυσιν αὐτά, κἀκεῖνα ἅτε δὴ καὶ τὰς ἀκτῖνας δυνάμενα δέχεσθαι ἐρυθραίνονται. διὸ καὶ ἀνέμων φησὶν αὐτὰ σημεῖα. ὕλης δὲ πυκνῆς δεῖται ἡ τούτων σύςασις καὶ πολλῆς· διά τοι τοῦτο καὶ ἀμφὶ τὸν Εὔξεινον πόντον τὰ πολλὰ φαίνεται συνιςάμενα, σπανίως δὲ κατὰ τὴν Ἑλλάδα. σημεῖον δέ ἐςιν ἐναργὲς χειμῶνος. ὁ δὲ νοῦς, περισκόπει δὲ ἢ ἀνατέλλοντος ἢ εὐθέως δυομένου τοῦ ἡλίου, εἴ που αὐτοῦ εἰσὶ νεφέλαι πλησίον αἵπερ καλοῦνται παρήλιοι, ἐκ τῶν νοτίων μερῶν τοῦ ἡλίου ἢ ἐκ τῶν βορείων ἢ ἐξ ἑκατέρου μέρους, καὶ ἐκ νοτίου καὶ ἐκ βορείου. μηδαμῶς δὲ τὴν ὄψιν ταύτην τῶν παρηλίων νεφῶν ἀμελητικῶς καὶ ὡς ἔτυχε φυλάσσου· ἀλλ' ἐπιμελῶς· ἔςι γὰρ χρειώδες καὶ κάλλιςον τεκμήριον· οὐδὲ γὰρ ὅτε ἐκεῖναι αἱ παρήλιοι νεφέλαι ἐξ ἑκατέρου μέρους ἔχουσι τὸν ἥλιον, πλησίον τοῦ ὠκεανοῦ ἢ τοῦ ἀνατολικοῦ ἢ τοῦ δυτικοῦ, γίνεται παρὰ Διὸς ἀναβολὴ χειμῶνος, ἀλλ' εὐθέως ἐπιπεσεῖται μέγας χειμών. ὁρίζοντα οὖν τὸν ὠκεανὸν λέγει, τόν τε ἀνατολικὸν καὶ τὸν δυτικόν· καὶ γὰρ ἐν τῇ ἀνατολῇ καὶ ἐν τῇ δύσει φαίνεται τὰ παρήλια ἑκατέρωθεν τοῦ ἡλίου. καὶ εἰ μὲν ἐκ τοῦ βορέου ἡ νεφέλη φοινίσσοιτο, βορέαν δηλοῖ, εἰ δὲ ἐκ νότου, νότον.

889. ἔσθ' ὅτε καὶ ῥάθαμιγγες: γράφεται εἰ καί που ῥαθάμιγγες, ὃ καὶ ἄμεινον· ἐὰν καί που οὖν ῥαθάμιγγες καὶ ςαγόνες

ὑετῦ ἐπιτρέχωσι μετ᾽ αὐτῶν τῶν παρηλίων, κατὰ κοινῦ ῦ γίνεταί ἀναβολὴ τῦ σχεδὸν ὄντος καὶ τῦ ἐκ Διὸς ἐπερχομένε χειμῶνος. ἢ ἐὰν δέ ποτε ςαλαγμοὶ μεγάλοι καὶ ῥαγδαῖοι περὶ τὴν ἑσπέραν γένωνται, χειμῶνα σημαίνεσιν.

890. ἐκθέμενος πάντα τὰ ἐκ τῦ ἡλίε τεκμήρια παραγγελίαν τινὰ εἰσάγει, καὶ παραινεῖ μᾶλλον τοῖς πρὸς τῇ δύσει τεκμηρίοις προσέχειν τὸν νῦν, ἐπειδὴ τὰ ἐν τῇ ἀνατολῇ συνιςάμενα τεκμήρια ἢ ἀπὸ νεφῶν ἢ ἀπὸ ἄλλων τινῶν ἀνιόντος τῦ ἡλίε εὐθέως διαλύεται καὶ πολλάκις ὑδὲ πάνυ τι τὴν κατάληψιν δέχεται. τά γε μὴν περὶ τὴν δύσιν τοῦ ἡλίου συνιςάμενα σημεῖα ἀληθῆ, ἐπεὶ φαμὲν ἐνταῦθα τὸν ἀέρα ἐπὶ πλεῖον συνῆχθαι κρατηθέντα τῇ ἀναθυμιάσει· διὸ καὶ παχύτερον λέγομεν τὸν νότιον ἀέρα, ὅτι πορρωτέρω ἐςὶ τῆς ἡλιακῆς περιόδε. ἐπίτρεχε ὖν τὴν τῶν σημείων κρίσιν, τὸ δὲ ἔχειν ταῦτα ἀκριβῶς αἱρεῖσθαί ἐςί τινα διακρίνοντα τὸ ἀμφισβητήσιμον. τὸ δὲ ἑσπέρας σημεῖον τοιοῦτόν ἐςι, μένον ἀεὶ καὶ ἰσχυρὸν καὶ βέβαιον ὂν μᾶλλον ἢ τὰ ἑωθινόν.

892. θεωρεῖταί τις ὑπὸ τῷ Καρκίνῳ Φάτνη, νεφελώδης τῇ συςροφῇ, μικρὰ καὶ μάλα ἀμυδρά, ὑπὸ τὸ νωτιαῖον ὄςρακον τῦ Καρκίνε, ἥτις ὑπὸ τῶν προτέρων φιλοσόφων ὕτω Φάτνη προσηγόρευται. εἰσὶ δὲ καὶ παρ᾽ ἑκάτερα τῆς Φάτνης δύο ἀςέρες, ὁ μὲν βόρειος, ὁ δὲ νότιος, ὓς Ὄνες ἐκάλεσαν διὰ τὸ παρακεῖσθαι τῇ Φάτνῃ. δίδωσιν ὖν ἡμῖν ἐκ ταύτης τῆς Φάτνης τεκμήρια χειμῶνος ὁ θαυμάσιος.

ἥτις (ἡ Φάτνη) ὀλίγῃ ἀορασίᾳ ἐοικυῖα, οἱονεὶ μάλα τις ἀμυδρὰ ὖσα, ὑπὸ τῷ Καρκίνῳ συνῆπται καὶ συνέςραπται. τὸ δὲ βοῤῥαίη (893) ἀντὶ τῦ βορεινή, εἰκότως· εἰ γὰρ ὑπὸ τὸ νωτιαῖον ὄςρακόν ἐςι τῦ Καρκίνε, ὅς ἐςι παντὸς τῦ ζῳδιακῦ βορειότερος, εἰκότως ἂν εἴη βορεινὴ ὑπὸ Καρκίνῳ ὖσα.

893. ὁ Καρκίνος ἐπὶ πρόσωπόν ἐςιν ἐμπεπηγὼς τῷ ὐρανῷ. ὑποκάτω δὲ αὐτῦ, ἐν τῷ νωτιαίῳ ὀςράκῳ δηλονότι, ἡ Φάτνη ἀχλαὺς ἤγεν συνέςραπται, συνέςαλται, ἢ ὑπόκειται. ἐν ὀλίγῳ γάρ ἐςιν ἡ κίνησις καὶ συςροφὴ αὐτῆς καὶ ἡ νεφελώδης ἔκλυσις.

ἐν τῷ δωδεκατημορίῳ τοῦ Καρκίνε νεφέλιόν τι ἐςι προσεοικὸς τῷ γαλαξίᾳ, μεταξὺ ἀςερίσκων κείμενον οὓ δοκῦσιν ὀφθαλμοὶ εἶναι Καρκίνε. καλεῖται δὲ τὸ μὲν νεφέλιον Φάτνη, οἱ δὲ ἀςέρες Ὄνοι, καὶ ὁ μὲν βόρειος, ὁ δὲ νότιος· μεταξὺ δὲ αὐτῶν διάςημα ὅσον πυγῶνός ἐςιν.

894. τὸ λεπτὰ ἀντὶ τῦ λεπτῶς καὶ ἀμυδρῶς· εἰσὶ γὰρ ὖτοι οἱ ἀςέρες ὐ μάλα λαμπροί. τὸ δὲ φαεινόμενοι φορέονται ἀντὶ τῦ φαίνονται. ὁ δὲ νῦς, περὶ δὲ τὴν Φάτνην δύο ἀςέρες λεπτῶς φαίνονται, ὔτε σφόδρα ἀλλήλων ἀπηρτημένοι ὔτε μὴν συνηνωμένοι. ἐν τῷ συνορᾶσθαι δὲ τοσῦτον φαίνονται ἀφεςηκότες ὅσον ἐςὶ πυγέσιον ὑπονοῆσαι τινά. πυγέσιον δὲ (896) ἤγυν πυγῶνα. πυγὼν δέ ἐςι τὸ ἀπὸ τῶ ἀλεκράνε ἐπὶ τὸν μικρὸν δάκτυλον τῆς χειρὸς κεκαμμένον μέτρον.

897. καὶ ὁ μὲν εἷς αὐτῶν βορειότερός ἐστιν, ὁ δὲ ἕτερος νοτιώτερος. οὗτοι δὲ καλοῦνται Ὄνοι· ἀνὰ μέσον δὲ αὐτῶν ἡ Φάτνη ἐστίν.

899. ἥτις (ἡ φάτνη) καὶ παντελῶς οὔσης εὐδίας αἰφνιδίως ἀφανὴς γίνεται. οἱ δὲ ἑκάτεροι περὶ αὐτὴν ἀστέρες ὥσπερ συνεχόμενοι πλησίον ἀλλήλων φαντασίαν παρέχουσιν· ὅταν δὲ τοῦτο γένηται, τὸ τὴν Φάτνην ἄφαντον γενέσθαι αἰφνιδίως εὐδίας οὔσης, μέλλοντος χειμῶνος ἔσεσθαι σημεῖόν ἐστι. τὸ δὲ αἴτιον τοιοῦτο. ὑγρότης ἀέρος γίνεται ἡμῖν ἀνεπαίσθητος, καὶ ἐκ τῆς παχύτητος καὶ ὑγρότητος ἐκείνης ἡ Φάτνη, οὖσα κατὰ φύσιν ἀμυδρά, ἀφανὴς γίνεται. διείργουσα δὲ τοὺς Ὄνους, ὅτε ἀφανοῦται, ὑπόνοιαν ἡμῖν παρέχει τοῦ πλησιάζειν ἀλλήλοις. ὁ δὲ νοῦς, ἐάν, φησίν, οἱ μὲν ἀστέρες ἐγγὺς ἀλλήλων φαίνωνται, ἀφανὴς δὲ ἡ Φάτνη, τηνικαῦτα βραχὺν χειμῶνα προσδόκα. αἴτιον δὲ τοῦ μὴ τὴν Φάτνην ὁρᾶσθαι, τοὺς δὲ ἀστέρας ἐγγὺς ἀλλήλων εἶναι τὸ διὰ νεφώδους αὐτοὺς ἀέρος ὁρᾶσθαι καὶ ὅσον οὐδέπω μεταβαλοῦντος εἰς ὕδωρ· συγκλέπτεσθαι γὰρ φιλεῖ τὸ μεταξὺ διάστημα τῶν δι' ὑδάτων ὁρωμένων. ὁμοίως δὲ κἂν μελαίνηται μὲν ἡ Φάτνη, οἱ δὲ ἀστέρες καταφαίνωνται τὴν αὐτὴν θέσιν ἔχοντες πρὸς ἀλλήλους, ὑετὸν προδηλοῖ· πάλιν γὰρ ἡ Φάτνη μελαίνεται τοῦ ἀέρος εἰς αὐτὴν στελλομένου. ἐὰν δὲ τῶν ἀστέρων τούτων ὁ μὲν βόρειος ἀμαυρὸς φαίνηται, ὁ δὲ νότιος λαμπρός, νότον ἴσθι πνευσόμενον· καὶ ἔμπαλιν, ἐὰν μὲν ἀμαυρὸς ὁ νότιος φαίνηται, λαμπρὸς δὲ ὁ πρὸς βορέαν, βορέαν προσδέχου πνευσόμενον. ἢ ἐὰν εὐδίας οὔσης ἴδῃς τὴν Φάτνην αἰφνιδίως γινομένην ἀφανῆ, τοὺς δὲ Ὄνους ἐξ ἑκατέρων τῶν μερῶν φαινομένους λαμπρούς, μέγαν χειμῶνα προσδόκα· ἐὰν δὲ μὴ ἀφανὴς μὲν γένηται ἡ Φάτνη, ἀλλὰ μελαίνηται ὁ τόπος ἐφ' ᾧ κατεστήρικται, οἱ δὲ Ὄνοι οὐκ ἀμαυροὶ φαίνωνται, ὄμβρον προσδόκα. ὥστε ἐὰν μὲν ἐξαίφνης ἀφανὴς ἡ Φάτνη γενηθῇ, οἱ δὲ ἀστέρες ἐγγύτερον ἀλλήλων φανῶσι, χειμῶνα ἔπομβρον δηλοῖ· ἐὰν δὲ μέλαινα μὲν ἐκείνη τῇ φαντασίᾳ, οἱ δὲ ἀστέρες τὴν αὐτὴν σχέσιν πρὸς ἀλλήλους ἔχωσιν, ὑετὸν προσδόκα.

903. ἐὰν δὲ μέλαιναν καὶ ζοφώδη ἔχῃ τὴν χροιὰν ἡ Φάτνη (καὶ τοῦτο δὲ ἐκ τῆς τοῦ ἀέρος παχύτητος γίνεται), οἱ δὲ ἀστέρες ὦσιν ἐοικότες αὐτοῖς, μηδέν τι περὶ τὸ φῶς συναμαυρούμενοι, τότε σημεῖόν ἐστιν ὄμβρου ἐσομένου. τὰ γὰρ ζοφώδη τῶν διαστημάτων πολλάκις, ὡς προείπομεν, δηλωτικά ἐστιν ὕδατος.

905. προείπομεν καὶ ἐν Φαινομένοις (415. 431) ὡς ἐπὶ τοῦ Θυτηρίου καὶ τοῦ Κενταύρου, ὅταν μέλλωσι πνεῖν ἄνεμοι, τοῖς πλησίον αὐτῶν ἄστροις παχυμερεῖς συστάσεις προανατέλλουσιν, αὐτὰ δὲ λαμπρὰ ἐπιδείκνυνται. οὕτως οὖν καὶ νῦν, ἐάν, φησίν, ἐκ βορείου μέρους τῆς Φάτνης ἀστὴρ ἀμαυρὸς φανῇ, ἠρέμα πως ἀχλυώδης ὤν, ὁ δὲ νότιος Ὄνος φαίνηται, τότε ἐπισκόπει καὶ ζήτει πνευσόμενον τὸν νότον· τὰ γὰρ πρὸ ἑαυτοῦ ὁ ἄνεμος ἀναστείλας τὸν νότιον Ὄνον φανερώτερον πεποίηκε. τὸν βορέαν δὲ ἐπι-

Digitized by Google

τηρεῖν χρὴ πνέοντα, ὅταν τὸ ἔμπαλιν τοῦ εἰρημένου γένηται, ἀχλυώδους μὲν δηλαδὴ τοῦ νοτίου, λάμποντος δὲ τοῦ βορείου.

ἕως ὧδε τὰ περὶ τοῦ ἡλίου.

909. ἀπὸ τῶν οὐρανίων σημείων μεταβέβηκεν εἰς τὰ ὑπέργεια, καὶ ἀπὸ πρώτης ἄρχεται θαλάσσης. ὁπόταν γάρ, φησίν, εὐδίας οὔσης ἡ θάλασσα μετεωρίζηται καὶ μακροὺς ἀπὸ τῶν αἰγιαλῶν ἤχους ἀποτελῇ, ἄνεμον δεῖ προσδοκᾶν. ὁμοίως δὲ καὶ αἱ πλησίον τῆς θαλάσσης ἀκταὶ πλεῖον τοῦ κατὰ φύσιν ἠχοῦσαι μέλλοντας ἀνέμους σημαίνουσιν. ὡσαύτως δὲ καὶ ὅταν αἱ ἀκρώρειαι τῶν ὀρῶν βοὴν ἀποτελῶσιν. ἀρξάμενος οὖν ἀπὸ τοῦ κρατίστου τῶν ἐπὶ γῆς στοιχείων πρὸς τὸ σημᾶναι φυσήσοντας ἀνέμους, τῆς θαλάσσης δηλαδή, φησίν, ἐπαιρομένη τοῖς ὕδασιν ἡ θάλασσα σημεῖόν σοι ἔσω ἀνέμων, καὶ εἰ αἰγιαλοὶ μέγα κράζονται, ἐκ τῶν κυμάτων δηλονότι. καὶ Ὅμηρος "αἰγιαλῷ μεγάλῳ βρέμοντι, σμαραγεῖ δέ τε πόντος, ῥοχθεῖ δὲ μέγα κῦμα ποτὶ ξηρῆς ἠπείροιο." συμβαίνει δὲ ταῦτα, διότι ἀκροσφαλὴς ἡ γειτνίασις τοῦ ἀέρος καὶ τῷ ὕδατι καὶ τῇ γῇ πρὸς ἠρεμίαν τε καὶ στάσιν. ἀρχομένου οὖν τοῦ ἀέρος ἡσυχῇ ῥεῖν σημεῖον ὁ ψόφος· καὶ γὰρ μεταβολὴ μὲν γίνεται ἀέρος, οὐδέπω μέντοι γε ἡμῖν αἰσθητή· καὶ γὰρ ἡ θάλασσα διοιδαίνουσα τοῦτο πάσχει κατ᾽ ἔμπτωσιν ἀνέμων. αἵ τε ἀκταὶ ἠχοῦσιν· ἡ γὰρ λαλιὰ τῶν ἀνθρώπων οὐκ ἐᾷ τῆς τοῦ ἀέρος κινήσεως αἴσθησιν λαμβάνειν μὴ σφοδρᾶς ὑπαρχούσης· ἐν δὲ τοῖς ἐρήμοις τοῦτο συμπίπτει.

ἄλλως. εἰρήκαμεν πολλάκις ὅτι σφόδρα πεφρόντικε τοῦ ἐπιδεῖξαι τεκμήρια πολλὰ χειμῶνος ὁ Ἄρατος, προνοούμενος τῶν ἀνθρώπων. δεδωκὼς οὖν ἐξ ἄστρων καὶ σελήνης καὶ ἡλίου καὶ τῆς Φάτνης τεκμήρια θεῖά τε καὶ ἀληθῆ, γινώσκων ὡς οὐχὶ πάντες εἰσὶν ἐπιστήμονες τῶν οὐρανίων οὐδὲ ἀκριβεῖς καὶ πεπαιδευμένοι εἰς τὸ καταλαμβάνειν τὰ ἐν οὐρανῷ τεκμήρια, καὶ ἐκ τῶν παρ᾽ ἡμᾶς καὶ μᾶλλον ἡμῖν γνωστῶν τὴν διδασκαλίαν ποιεῖται, οἷον ἐκ θαλάσσης, ἐκ πτηνῶν, ἐκ πυρός, ἐκ ζώων καὶ ἐξ ἄλλων, καὶ ἐκ πάντων τὴν κατάληψιν ἡμῖν παρέχει τοῦ χειμῶνος.

913. καὶ ὅταν ὁ ἐρωδιὸς ἐκ τῆς θαλάσσης ἐπὶ τὴν ξηρὰν σφόδρα κράζων ἔρχηται, γίνωσκε ὅτι ἀνέμου κινουμένου σημεῖόν ἐστιν. ὁ δὲ ἐρωδιὸς τὸ ὄρνεον τῶν ἀμφιβίων ἐστί, ποτὲ μὲν ἐν ξηροῖς ποτὲ δὲ ἐν ὑγροῖς διάγων. πολλάκις οὖν ἐπὶ θαλάσσης διατρίβων αἰσθάνεται πνεύματος μέλλοντος κατιέναι, καὶ δεδοικὼς μήποτε αὐτὸν ἡ ἐκ τῆς θαλάσσης τρικυμία περίσχῃ, τεθορυβημένος ἔξεισιν ἐπὶ γῆν, καὶ κραυγάζων τῇ φωνῇ καὶ τῇ ἀτάκτῳ πτήσει τὸν φόβον δηλοῖ. γίνονται δὲ αἱ τῶν ζώων προσημασίαι ἤτοι νοῦ ὀξύτητι ἢ αἰσθήσεως ταχυτῆτι. ἡ δὲ ἀπὸ τῆς αἰσθήσεως διαιρεῖται· ἢ γὰρ ἁφῇ ἀπὸ ψυχρότητος περιστολῆς, ἢ ἀπὸ ἀναθυμιάσεως ὀσφρήσει. ὁ μὲν οὖν ἄνθρωπος διὰ τὰ σκεπάσματα τοῦ ψύχους παραλλαγεὶς οὐκ αἰσθάνεται, οὐδὲ τῇ ὀσφρήσει διὰ μῖξιν τῶν χυμῶν ἀντιλαμβάνεται· τὰ δὲ θηρία δι᾽ εὐαισθησίαν προφοιτῶντα σημαίνει τὰ

Digitized by Google

ἐσόμενα. φεύγει τοίνυν ὁ ἐρωδιὸς τὴν θάλασσαν τὸν χειμῶνα προαισθόμενος. τὸ δὲ κινυμένου θάλασσαν (915) ἤγουν κινουμένου καὶ πνεῖν μέλλοντος ἀνέμου ὑπὲρ τὴν θάλασσαν φορέοιτο καὶ κομίζοιτο ἐπὶ τὴν ξηρὰν ὁ ἐρωδιός.

916. ἀπὸ κοινοῦ τὸ κινουμένου ἀνέμου καὶ τόδε ἐστὶ σημεῖον. ὁ δὲ κέπφος τὸ ὄρνεον τῶν λεπτοσάρκων ἐστί· σφόδρα γὰρ αὐτὸν ἐπιλείπει ἡ σάρξ, καὶ ἔστιν ὀστέον μόνον σχεδὸν καὶ πτερά. ἔστι δὲ ὅλον τὸ ὄρνεον ἰσχνόν, ἀεὶ δὲ φιληδοῦν τῷ ἀφρῷ· τοῦτον γὰρ καὶ σιτεῖται περὶ τὰ ὕδατα ἀναστρεφόμενον, ὡς καὶ Νίκανδρος "θηρεύων ἀφροῖο νέην κλύδα λευκαίνουσαν." ἐπειδὰν οὖν αἴσθηται ὀλίγου πνεύματος πνεῖν μέλλοντος, ἵπταται οὐ φεύγων τὸν ἄνεμον, ἀλλ' αὐτοῦ τοῦ ἀνέμου ἀντιπρόσωπος, ἵνα πνέων ἐκεῖνος, τούτου ὡς ἐπ' αὐτὸν φερομένου, σκέπῃ αὐτὸν τοῖς πτεροῖς. τέχνῃ δὲ αὐτὸ ποιεῖ ὁ κέπφος· εἰ γὰρ ἐπίπροσθεν ἔφευγεν ὄπισθεν ἔχων τὸν ἄνεμον, ἀναστελλομένων τῶν περὶ τὸ σῶμα αὐτοῦ πτερῶν ἐκ τοῦ ἀνέμου κακῶς ἂν διετίθετο. νῦν δὲ ἀντιπρόσωπος ἵπταται, ἵνα πνέων ὁ ἄνεμος σκέπῃ αὐτοῦ τὰ πτερά, καὶ οὕτως ἐνέγκῃ τὸ πνεῦμα. ὅταν οὖν ἐναντίοι τῶν μελλόντων ἀνέμων πνεῖν οἱ κέπφοι εἰληδὰ πέτωνται (τουτέστι κατὰ συστροφήν, κατὰ ἀγέλην κινῶνται), τότε πνεύσεται ἄνεμος.

917. εὔδιοι ποτέωνται] εὐδιεινῶς φέρωνται, ὅταν προαισθάνωνται τῶν ἀνέμων, ὅτι πνεύματα ἔσται· τότε γὰρ ἀντιπρόσωποι τῶν ἀνέμων ἵπτανται. φέρονται δὲ ἀντιπρόσωποι, ὥσπερ καὶ οἱ ἰχθύες πρὸς ἄνεμον νηχόμενοι· καταστέλλει γὰρ τὸ κῦμα τὴν φρίκην τῆς λεπίδος ἐκ κεφαλῆς ἐπερχόμενον.

918. νήσσας νῦν ἀγριάδας τὰς ἐν ταῖς νήσοις διατριβούσας ὄρνιθας λέγει, τὰς ἀνημέρους καὶ ἀγρίας. τὰς δὲ αἰθυίας εἰναλιδίνας φησίν, ἐπειδὴ δυνουσῶν αὐτῶν τῇ θαλάσσῃ ἐπιγίνεταί τις δῖνος, τουτέστι κυκλοτερὴς τοῦ ὕδατος φορά. ταῦτα ἐπὶ τῆς χέρσου, φησίν, ὅταν τινάσσηται τὰ πτερά, ἄνεμον σημαίνει· φεύγοντα γὰρ τὸν θαλάττιον χειμῶνα τὴν ἐκ τῆς θαλάττης ὑγρότητα ἀποβάλλουσιν, ἐπὶ τὴν χέρσον παραγινόμενα.

920. καὶ τὰς ἐπὶ τῶν ὀρῶν δὲ μηκυνομένας νεφέλας πνεύματος εἶναί φησι σημαντικάς· καὶ γὰρ αὗται εἰς μῆκος ἐπιδιδόασι κατὰ πύκνωσιν τοῦ ἀέρος. ἴσμεν δὲ ὅτι συνιστάμεναι νεφέλαι ἐπὶ ταῖς τῶν ὀρῶν ἀκρωρείαις ἀναπαύονται, ἕως ἂν ἄνεμος πνεύσας ὠθήσῃ αὐτάς. ὅταν οὖν ἄνεμος ἄρξηται διώκων τὴν νεφέλην ἐπεκτείνειν αὐτήν, καὶ τοῦτο τεκμήριον τίθησιν ἀνέμου μηκύνοντος τὴν νεφέλην.

921. ἡ ἄκανθα ἡ καλουμένη κινάρα, ἐπειδὰν ἐξανθήσῃ, αὐριοῦται. γήραμος δὲ αὐτῆς ἐστὶν ὁ καλούμενος πάππος. ἐν δὲ τοῖς παραθαλαττίοις χωρίοις, ἐπειδὰν πνεύσῃ ἄνεμος, οἱ πάπποι κοῦφοι ὄντες καὶ εὔριπτοι ἢ εὔθρυπτοι, καὶ ὑπὸ ὀλίγου ἀνέμου ἀνατρεπόμενοι, ἐμπίπτουσι τῷ ὕδατι, καὶ ἐπιπλέοντες δῆλοί εἰσιν ὅτι ἀνέμου κατιόντος σημεῖον εἰσίν.

ὁ δὲ λόγος, καὶ οἱ πάπποι, οἵτινές εἰσι γηράματα ἀκάνθης, σημεῖον ἐγένοντο ἀνέμου κωφῆς καὶ ἀναισθήτου οὔσης τῆς θαλάσσης. τὸ οὖν κ ω φ ῆ ς ἁ λ ὸ ς τῆς ἀνεπαισθήτου. καὶ Ὅμηρος "κύματι κωφῷ," τῷ ἠρεμοῦντι δηλαδή.

923. ὅταν πολλὰ γηράματα τῆς ἀκάνθης εἰς τὸ ἄκρον ὕδωρ πλέωσι, τότε ἄνεμον δηλοῖ, τὰ μὲν καταπίπτοντα εἰς τὸ ὕδωρ, ἄλλα δὲ ὕστερον καταφερόμενα. πάππος δέ ἐστιν ὑμὴν κελυφανώδης.

924. παρὰ τοῖς Αἰγυπτίοις κεκριμέναι εἰσὶν αἱ ὧραι τοῦ ἔτους, καὶ ὁ χειμὼν ἔχει τὰ προσήκοντα, οἷον ἀστραπὰς καὶ βροντάς, καὶ τὸ θέρος ὁμοίως· ἐν δὲ τοῖς ἄλλοις μέρεσιν ἄκριτοί εἰσι καὶ ἀόριστοι, καὶ πολλάκις ἐν καιρῷ θέρους βρονταὶ καὶ ἀστραπαὶ γίνονται καὶ ὑετός. τοῦτο οὖν φησί, καὶ θέρους δέ, ὅθεν αἱ βρονταὶ καὶ ἀστραπαὶ γίνονται, καὶ ἢ ἐκ νοτίων ἢ ἐκ βορείων ἢ ὁθενδήποτε, ἐκ τούτου τοῦ μέρους σκόπει ἐσόμενον ἄνεμον. τὴν βροντὴν μὲν οὖν φασὶ κατὰ ῥῆξιν γίνεσθαι τῶν νεφῶν, τὴν δὲ ἀστραπὴν κατὰ παράτριψιν τῶν ῥηγνυμένων νεφῶν. τούτων οὖν, φησί, θέρους γινομένων ἄνεμον ἴσθι πνευσόμενον ἐκεῖθεν ὅθεν γίνονται. ἡ γὰρ τοῦ θέρους ἔκκαυσις ἐκκαίουσα τὸν παχὺν ἀέρα τὴν μὲν εἰς ὕδωρ οὐ ποιεῖ μεταβολήν, λεπτύνουσα δὲ αὐτὸν ἀραιοῖ καὶ εἰς ἄνεμον διαλύει.

926. ὁ αἰθὴρ σφόδρα ἐστὶ διάπυρος, ὅθεν καὶ ὠνόμασται παρὰ τὸ αἴθω, ἔστι δὲ ὅτε καὶ ὑπὸ τοῦ ἡλίου ξηρὰς ἀναθυμιάσεις δέχεται ἀπὸ τῆς γῆς· καὶ ξηρὸς ὢν καὶ πυρώδης, πυκνούμενος, ἀποπέμπει τινὰς ὥσπερ σπινθῆρας, οὓς δὴ ὑπονοοῦσιν ἀστέρων εἶναι διαδρομάς. οὐκ εἰσὶ δέ· οὐ γὰρ οἱ ἀστέρες κινοῦνται, ἀλλὰ στιλβηδόνες πυρώδεις εἰσίν, ἅς, ὡς ἔφην, ἀποπέμπει ὁ αἰθήρ· διὸ καὶ ὀλίγον δραμοῦσαι παύονται, ὥσπερ καὶ αἱ σπινθῆρες, ὥστε τοῦ αἰθέρος ἐστὶ πύκνωσις τὸ τοιοῦτο. ἐν νυκτὶ οὖν, φησίν, ὅταν τόπων μεταβάσεις ποιῶνται οἱ ἀστέρες (τοῦτο γάρ ἐστι τὸ ἀΐσσωσι ταρφέα), ὄπισθεν δὲ αὐτῶν οἱ ὁλκοὶ λαμπροὶ φαίνωνται, προσδοκᾶν δεῖ αὐτοῖς τοῖς ἀστράσι τὴν αὐτὴν ὁδὸν ἐρχομένου πνεύματος, οἷον ἐὰν ἀπὸ τῶν βορείων τὰς ὁρμὰς ποιῶνται, βορέας πνεύσεται, ἐὰν δὲ ἀπὸ τῶν νοτίων, νότος κατὰ τὴν τῶν ἀστέρων κίνησιν. ῥ υ μ ο ὶ δὲ (927) ἤγουν ὁλκοί, εἰς μῆκος τοῦ πυρὸς ἐκτάσεις. ὑ π ο λ ε υ κ α ί ν ο ν τ α ι λευκανθίζονται, τουτέστιν οἱ ἀστέρες ἐπισπῶνται [συριγμὸν ἢ] συρμὸν λευκόν· λέγει δὲ τοὺς διάττοντας, οἳ ἀστέρες μὲν οὐκ εἰσί, γένεσις δὲ πυρὸς φερομένου ἐκ παρατρίψεως ἀστέρων. σημεῖον δέ εἰσι πνεύματος, ὥσπερ καὶ ἡ ἀστραπὴ καὶ ἡ βροντὴ γίνεται ἐκ τῆς τῶν νεφῶν παρατρίψεως, καὶ ἡ ἔκθλιψις ἑκάστου σημεῖον τοῦ πλησίον γίνεται πνεύματος. καὶ οἱ διάττοντες οὖν ἀστέρες ὅθεν ἐκπηδῶσιν, ἐκεῖθεν δεῖ τὸ πνεῦμα προσδοκᾶν· ὠθεῖ γὰρ αὐτοὺς ἐκεῖθεν. ὅθεν καὶ ἡ κατὰ τὴν ὁδὸν λευκότης φαίνεται· ἐξωθουμένων γὰρ ὑπὸ πνοῆς ἀστέρων, καὶ πιπτόντων ὀλίγον ἐκ τοῦ αἰθέρος εἰς τὸν ἀέρα, τὸ πνεῦμα, ὅθεν ἂν μέλλῃ πνεύσειν, κινεῖ ἐκεῖθεν αὐτά, καὶ ἡ πορεία καθ' ἣν χωροῦσι λευκαίνεται, κατὰ φύσιν

τοῦτο ἀστέρων ποιούντων. μένει τε ἐπ᾽ ὀλίγον, ἄχρις ἂν πάλιν εἰς τὸν αἰθέρα ἀνελθόντων ἡ ἔκλαμψις σβεσθῇ ὑπὸ τῆς θερμότητος τοῦ αἰθέρος.

929. ἐὰν δὲ καὶ ἄλλοι ἀστέρες ἐναντίοι τῶν προειρημένων ὁρμῶσι, καὶ ἄλλοι ἐξ ἄλλων μερῶν, τὸ τηνικαῦτα φυλάσσου παντοίων ἀνέμων, οἵτινες ἅμα πνέοντες ἄτακτοι καὶ ἀδιόριστοί εἰσι καὶ πνέουσιν ἅμα ἔνθεν κἀκεῖθεν, ὥστε μὴ διακρίνεσθαι. τὸ δὲ ἄλλοι ἐξ ἄλλων μερῶν (930) τουτέστιν ἐκ παντὸς μέρους τοῦ κόσμου, ἀπ᾽ ἀνατολῆς δύσεως ἄρκτου καὶ μεσημβρίας. τὸ δὲ ἐπ᾽ ἀνδράσι τεκμήρασθαι (932) ἤτοι ὅσον ἐπὶ τῇ τῶν ἀνθρώπων νοήσει καὶ σημειώσει, συγκεχυμένους ἀνέμους ἀεὶ προσδόκα· ἢ οὐδ᾽ οἱ ἄνδρες τεκμήριον δυνηθεῖεν σχεῖν ἐπὶ τῇ τούτων συγχύσει καὶ ἀκρισίᾳ.

933. ἐπειδὰν δὲ ἐκ τοῦ εὔρου ἀστράπτῃ καὶ ἐκ τοῦ νότου, πάλιν δὲ ἐκ τοῦ ζεφύρου καὶ τοῦ βορέου, τότε ἐν πελάγει ναύτης τις ὢν φοβεῖται μή ποτε ὁ καιρὸς αὐτὸν ἐκβάλλῃ τῷ τε ἐκ τοῦ πελάγους ὕδατι καὶ τῷ ἐκ τοῦ Διός. αἱ γὰρ ἀστραπαὶ αὗται ἐπὶ ἐσομένου σφόδρα πολλοῦ ὑετοῦ γίνονται. φαίνονται γὰρ πανταχόθεν ἀστραπαί, διέξοδον οὐ διδόντος τῇ πυκνότητι τοῦ ἀέρος· καὶ χειμέριον διὰ τοῦτο τὸ σημεῖον μενούσης τῆς συστάσεως.

936. ἄπορον ἐνταῦθά φησιν, εἰπών, μὴ αὐτὸν τότε ἔχῃ τὸ πέλαγος· εἴασε γὰρ ἀτελῆ τὸν λόγον. τοῦτο οὖν ἐστί, μηδὲ τὸ πέλαγος μηδὲ ὁ τοῦ Διὸς ὄμβρος ἤγουν τοῦ οὐρανοῦ· εἰπὼν γὰρ τῇ δ᾽ ἐκ Διός εἴασε τὸ λοιπόν. σὺ δὲ νόει μὴ πέλαγος, ἀλλ᾽ ἐκ τοῦ παρακολουθοῦντος ὄμβρον· τῷ γὰρ οὐρανῷ οὐ πέλαγος ἀλλ᾽ ὄμβρος παρέπεται.

938. πολλάκι δ᾽ ἐρχομένων ὑετῶν προπάροιθεν, καὶ πρὶν ἐλθεῖν τὸν ὑετόν, φαίνεται νέφη ὁποῖα πόκοι ἐρίων, ἵνα λέγῃ νέφη τὰ μὴ πάνυ ζοφώδη (ἐκεῖνα γὰρ ἐλθόντος ἤδη ὑετοῦ εἰσίν) ἀλλὰ μᾶλλον ὀλίγον λευκὰ καὶ μὴ πάνυ συνεστραμμένα, οἷά ἐστι καὶ τὰ ἔρια. καὶ δηλονότι προϊόντος τοῦ καιροῦ ὡς ἐπὶ ζοφωδέστερον χωροῦσι, κατ᾽ ὀλίγον τοῦ ὠθοῦντος πνεύματος αὐξομένου. ἢ ὅτι τὰ ὑγρὰ νέφη σημεῖά ἐστιν ὑετοῦ. ἃ δὴ πόκοις παρείκασε· σχεδὸν γὰρ σπόγγοις ἔοικεν ἀβρόχοις.

940. καὶ τὴν διδύμην ἶριν ἀκριβέστατον ὄμβρων σημεῖον ἡμῖν δίδωσιν. ἀπὸ γὰρ ὀλίγης τῆς τοῦ ἀέρος συγχύσεως μίαν ἶριν συμβαίνει γίνεσθαι· ὅταν δὲ πολὺ τὸ πύκνωμα ᾖ τῶν νεφῶν, ἀπὸ τῆς πρώτης γενομένης ἴριδος ἄλλη γίνεται ὁμοία τῇ περιγραφῇ, ὄμβρον πολὺν σημαίνουσα· διδύμη γὰρ ἡ διττή· οὕτω γὰρ αὐτῆς ἐστιν ἡ σύστασις τῆς χροιᾶς. οὐ γὰρ μονόχροος ἡ ἶρίς ἐστι, συνέσταται δὲ ἐξ ὑγρότητος καὶ παχύτητος τοῦ ἀέρος. ἐμπίπτουσα γὰρ ἡ τοῦ ἡλίου ἀκτίς, καὶ ἐκ τῆς παχύτητος διικνεῖσθαι μὴ δυναμένη, ἐπὶ πολὺ ἁπλοῦται, καὶ ἀποτελεῖ τὴν ζώνην ταύτην, ἥτις ἐκ τῆς τῶν νεφῶν ὑγρότητος καὶ παχύτητος τοῦ ἀέρος καὶ τὸ ποικίλον ἔχει. Ἀναξιμένης δὲ τὴν ἶριν φησι γίνεσθαι, ἡνίκα ἂν ἐπιπέσωσιν αἱ τοῦ ἡλίου αὐγαὶ εἰς παχὺν καὶ πυκνὸν ἀέρα· ὅθεν τὸ μὲν πρότερον αὐτοῦ τοῦ ἡλίου φοινικοῦν φαίνεται, διακαιόμενον ὑπὸ τῶν

ἀκτίνων, τὸ δὲ μέλαν κρατούμενον ὑπὸ τῆς ὑγρότητος. καὶ νυκτὸς δέ φησι γίνεσθαι τὴν ἶριν ὑπὸ τῆς σελήνης, ἀλλ᾽ οὐ πολλάκις διὰ τὸ μὴ πανσέληνον εἶναι διὰ παντὸς καὶ ἀσθενέστερον αὐτὴν φῶς ἔχειν τοῦ ἡλίου. Μητρόδωρος δὲ τὴν ἶριν αἰτιολογῶν φησιν "ὅταν ἐξ ἐναντίας τῷ ἡλίῳ ἐνστάθῇ νέφος πεπυκνωμένον, τηνικαῦτα ἐμπιπτούσης τῆς αὐγῆς τὸ νέφος κυανοῦν διὰ τὴν κρᾶσιν γίνεται, τὸ δὲ περιφαινόμενον τῇ αὐγῇ φοινικοῦν, τὸ δὲ ὂν κάτω λευκόν." τοῦτο εἶναι ἔθεσαν ἡλιακὸν φῶς· Ἀριστοτέλης δὲ κατοπτικὴν ἐποιήσατο ἔμφασιν. πέφυκε γὰρ τοῦτο, ἄσσειν τὴν ὄψιν προσπίπτουσαν τοῖς λείοις σώμασι καὶ κατακλωμένην καὶ ἀνακλωμένην. τοιοῦτον δὲ εἶναι τὸν ἀέρα καὶ τὸ ὕδωρ. ἐπὰν τοίνυν ἀντικρὺ τοῦ ἡλίου νέφος συνεστὼς κατὰ ῥανίδα, ἐγγίνεσθαι τὴν ὄψιν καθ᾽ ἑκάστην ῥανίδα, καὶ τὴν ἐπὶ τὸν ἥλιον ἀνάκλασιν ἴσχειν. δόξαν δ᾽ ἐμποιεῖν τοῦ συνεχεῖς εἶναι τὰς ἐμφάσεις, κἂν ὁπόσην ἔχωσι διάστασιν, διὰ τὸ ἀφ᾽ ἡμῶν ἐπ᾽ ἐκείνους τοὺς τόπους διάστημα.

941. οἱ λαμπροὶ τῶν ἀστέρων ὡς πῦρ εἰσί, καὶ μαρμαρυγὰς ἔχουσι καὶ παρέχουσιν, ὥσπερ ἡ σελήνη καὶ ὁ ἥλιος ἐκ τῆς τοῦ ἀέρος παχύτητος καὶ αὐτοὶ ἅλωας ἔξωθεν αὐτῶν ἔχουσι. δῆλον οὖν ὅτι ἡ μέλαινα ἅλως ὕδατός ἐστι ποιητικὴ καὶ σημαντική.

942. ὅταν γὰρ αἴσθηται ἐσομένου χειμῶνος τὰ ὄρνεα τὰ φιληδοῦντα τοῖς ὕδασιν, ἐπειδὴ μετ᾽ οὐ πολὺ ἔσται χειμὼν καὶ μέλλουσιν ἀφίστασθαι τῶν ὑδάτων, πρὶν ἐλθεῖν τὸν χειμῶνα ἀπολαύουσι τῶν ὑδάτων ὡς μέλλοντα αὐτῶν ἀφίστασθαι ἢ ἀποσχοινίζεσθαι καὶ ἀποχωρίζεσθαι. τὸ δὲ ἐνιέμεναι ὑδάτεσσιν (943) ἤγουν ἐγκαθιεῖσαι ἑαυτὰς τοῖς ὕδασιν.

944. ἐὰν δὲ περὶ λίμνην χελιδόνες συνεχῶς δρμῶσιν, ἐν τῷ ἵπτασθαι τῇ γαστέρι τύπτουσαι τὸ λιμναῖον ὕδωρ, τότε ἔσται χειμών. εἱλυμένον δὲ ὕδωρ (945) τὸ ἤδη ἐκ τοῦ ἀνέμου συστραφὲν καὶ ἤδη ἀρξάμενον κινεῖσθαι.

946. ὁ ὕδρος οὗτος εἶδός ἐστιν ὄφεως, ὃς τοὺς βατράχους σιτεῖται, ὡς ἔχομεν παρὰ Νικάνδρου· διὰ τοῦτο ὕδροις ὄνειαρ τὸ τῶν βατράχων γένος· αὐτοὺς γὰρ σιτοῦνται. ὁ δὲ λόγος, ἔσται, φησί, τεκμήρια χειμῶνος, ὅταν μᾶλλον παρὰ τὴν συνήθειαν κραυγάζωσιν οἱ βάτραχοι, οἵ τινές εἰσιν ὕδροις ὄνειαρ. παρ᾽ Αἰγυπτίοις δὲ ἐν τῷ θέρει μεῖζον κραυγάζουσι προσδοκίᾳ τῶν Νειλῴων ὑδάτων, οἷς φιληδοῦσι καὶ ἀφ᾽ ὧν ζῶσι. σημεῖον δὲ χειμῶνος αἱ φωναὶ τῶν βατράχων, ἐπειδὴ προαισθάνονται μὲν ἀπ᾽ αὐτοῦ τοῦ ὕδατος μεταλλασσομένου εἰς ψυχρότητα. χαίροντες δὲ πάνυ βοῶσιν ὁμοῦ· εἰσὶ μὲν γὰρ καὶ φίλυδροι, μάλιστα δὲ φιλοῦσι τὸ ὄμβριον· γλυκύτερον γάρ ἐστι τοῦ πηγαίου, διὸ εὐφραίνει αὐτοὺς καὶ πλέον ζωογονεῖν ποιεῖ[illegible] ὡς καὶ τὰ φυτὰ μᾶλλον ὑπὸ τοῦ ὀμβρινοῦ θάλλουσι. γυρῖνοι δὲ λέγονται οἱ ἀδιάπλαστοι βάτραχοι, τουτέστι τὰ γεννήματα τῶν βατράχων· ἀδιάπλαστα γὰρ τίκτονται καὶ ἄποδα ὡς ἐπὶ τῆς ἄρκτου.

Digitized by Google

948. ἢ ὀλολυγὼν ὄρνεόν ἐςι κατὰ τὴν τρυγόνα, τῇ ἐρήμῳ φιληδοῦν. ἐν ἐρήμοις τοίνυν οὖσα καὶ ὑποψύχροις τόποις ἀντιλαμβάνεται τοῦ κρύους καὶ τρύζει τὰ προσόρθρια. οἱ δὲ φασιν ὅτι καὶ ὀλολυγὼν ὁμοίως ἐπὶ τοῖς ὕδασι χαίρουσα κράζει ἡμερίῳ, ζῷον ὂν λιμναῖον καὶ φιλόψυχρον. ἔςιν ὂν ὑπόμηκες, ἀδιάρθρωτον, ὅμοιον γῆς ἐντέρῳ, πολὺ μέντοι ἰσχνότερον. Ἀριςοτέλης δὲ ταῦτα οὐκ οἶδεν, ἀλλὰ τὴν τοῦ ἄρρενος βατράχου φωνὴν σημεῖον εἶναί φησι πρὸς συνουσίας ὀργῶντος ἐπὶ τὴν θήλειαν.

950. ὑπέκυψεν ἀντὶ τοῦ ὑπῆλθε. λέγει δὲ τὴν χερσαίαν κορώνην· εἰσὶ γὰρ καὶ θαλάττιαι καθ᾽ Ὅμηρον· "τανύγλωσσοί τε κορῶναι." ὁ δὲ νοῦς, καὶ ἡ κορώνη ἡ χερσαία ἐν αἰγιαλοῖς προσῆλθε καὶ παρὰ τῇ θαλάσσῃ ὤφθη ἀρχομένου χειμῶνος· φιληδεῖ γὰρ τοῖς ὕδασιν.

951. καὶ ἡ κορώνη καὶ ὁ κόραξ (τοῦ γὰρ αὐτοῦ γένους εἰσί) σφόδρα κατάξηρον τὸ σῶμα ἔχοντες τοῖς ὑγραίνουσι σφόδρα φιληδοῦσιν. ὅταν οὖν ἀρχῆς χειμῶνος ἐπαισθῶνται καὶ ὑγραίνῃ αὐτῶν τὰ περιέχοντα σώματα, τότε καὶ ἐπινήχονται τοῖς ὕδασι· σφόδρα γὰρ χαίρουσιν αὐτοῖς· ἄνευ γὰρ χειμῶνος οὐ τοσοῦτον τὸ ὕδωρ τὸ ποτάμιον ἢ τὸ θαλάσσιον αὐτὰς ὀνίνησιν, εἰ μὴ καὶ τὸ περιέχον ὑγρὸν ὑπάρχει. ὁ δὲ λόγος, πολλάκις καὶ ἐν ποταμῷ ἀπὸ κεφαλῆς ἕως ἄκρων τῶν ὤμων ἐβάπτισεν αὐτήν, καθ᾽ ὅτε καὶ πᾶσα νήχεται.

953. ἢ πολλάκις ἐὰν ἀναςρέφηται ἐκ ποταμίοις ὕδασιν ἢ θαλασσίοις, παχείᾳ τῇ φωνῇ κρώζουσα. τὸ δὲ τοιαύτην ἀφιέναι φωνὴν δηλοῖ τὴν ἐκ παντὸς τοῦ σώματος ἐκ διαθέσεως κραυγὴν ἐπὶ τοῖς γιγνομένοις καθ᾽ ἡδονὴν ὕδασιν.

ἄλλως. ὅσαι τῶν ὀρνίθων βρέχουσαι ἑαυτὰς τῷ ὕδατι προσημαίνουσιν ὑετὸν, ὑπομιμνήσκονται τοῦ πάθους διὰ τὸν μέλλοντα ὄμβρον, καθάπερ τὰ ἀπορροῦντα τῶν ὑποζυγίων ἐν ταῖς διαβάσεσι τῶν ποταμῶν. λιμναῖαι μὲν οὖν ὄρνιθες νῆσσαι χῆνες ἐρωδιοί, ἐνάλιαι δὲ αἴθυιαι· γυρῖνοι δὲ οἱ ἀδιάπλαςοι βάτραχοι. κεκράγασι δὲ οἱ βάτραχοι χαίροντες τῷ ὑγρῷ. τὴν δ᾽ ὀλολυγόνα φασὶν εἶναι ζῷον λιμναῖον, ἁπλοῦν, ἰσχνόν. βάπτει δὲ ἑαυτὴν ἡ κορώνη ψῦχος ζητοῦσα, ἤτοι ψυχομένου τοῦ ἔξω ἀέρος καὶ εἰς τὸ βάθος περιωθουμένης τῆς θερμότητος τοῖς ζῴοις, ἢ καὶ διὰ τὴν ἔξω θερμότητα· ὡς γὰρ ἐπὶ τὸ πολὺ πρὸ τῶν ὑετῶν θερμότερος αὐτὸς ἑαυτοῦ ὁ περίγειος ἀήρ, ἐκθλιβομένου τοῦ πυρώδους ἐκ τῆς ψυχομένης νεφέλης καὶ εἰς ὕδωρ μεταβαλλούσης, καὶ εἰς τὸν περίγειον χωροῦντος τόπον. ἢ πολλὰ χαίρει τε καὶ σκιρτᾷ, ἐπειδὴ φιλεῖ τὰ ψυχρὰ διὰ τὸ φλέγεσθαι· ἔςι γὰρ ἡ κορώνη φυσικῶς θερμή.

954. οἱ βόες ἠραιωμένους καὶ διαχάσκοντας ἔχοντες τοὺς μυκτῆρας αἰσθητικώτεροι μᾶλλόν εἰσι. καὶ πᾶν μὲν τετράποδον τῶν ἀνθρώπων αἰσθητικώτερόν ἐςιν, ἐξαιρέτως δὲ οἱ βοῦς διὰ τὴν τῶν μυκτήρων ἀραίωσιν. ὅταν τοίνυν ἀναθυμιάσεών τινων ἐκ τῆς τοῦ ἀέρος ἀκρασίας αἰ-

Digitized by Google

σθάνται, ἀφορῶντες ὡς ἐπὶ τὸν οὐρανὸν ὀσφραίνονται τῆς τοῦ ἀέρος παχύτητος πρὶν γενέσθαι τὸν ὄμβρον, καὶ δηλοῦσιν ἐκ τῆς ὀσφρήσεως ὅτι ἔσται χειμών. διὸ καὶ εὐρύτεροι οἱ μυκτῆρες γεγόνασι, παχυνομένου τοῦ ἀέρος καὶ οὐκ εὐμαρῶς ἑλκομένου ἀλλὰ βιαιότερον· ὅθεν τὸν ἄνωθεν ἕλκουσιν ἀέρα μᾶλλον ἐψυγμένον. ἢ καὶ τοῦ δέρματος μᾶλλον πεπιλημένου καὶ τοῦ θερμοῦ ἐναποκλειομένου δεόμενοι πλείονος ἐμψύξεως τὸν κατεψυγμένον ἕλκουσιν ἀέρα. ἢ οἱ βόες ἐν τῇ ὀσφρήσει ἄνωθεν ἕλκοντες τὸν ἀέρα χειμῶνα σημαίνουσι· πυκνουμένου γὰρ τοῦ περιγείου ἀέρος καὶ θερμοτέρου γινομένου, τὸν λεπτότερον καὶ ψυχρότερον ποθοῦσιν ἀναπνεῖν τε καὶ ἕλκειν ἔξωθεν. τὸ δὲ ὕ δ α τ ο ς ἐ ν δ ί ο ι ο ἤγουν μεσημβρινοῦ καὶ οὐρανίου. ὁ δὲ λόγος, ἐπιγείου καθεστῶτος ὄμβρου οἱ βόες πρότερον ἀναβλέψαντες εἰς τὸν οὐρανὸν ἐπισπῶνται τὸν ἀέρα, καὶ παραπλήσιοι γίνονται ὀσφραινομένοις.

956. ἡ γῆ σῶμά ἐστι τριχῇ διάστατον· καὶ ἀναγκαῖον σῶμα αὐτὴν οὖσαν κεκρᾶσθαι ὑγρῷ τε καὶ θερμῷ. ἔνιοι οὖν τόποι αὐτῆς ὀρυττόμενοι καπνὸν ἀφιᾶσιν, ἄλλοι δὲ φρέατα καὶ ὕδατα, καὶ δηλονότι κέκραται τοῖς ὀφειλομένοις. καὶ ἐν μὲν τῷ θέρει ἐν βάθει αὐτῆς ἐστὶν ἡ ψυχρότης, τὰ δὲ ἄνω θερμά· τῷ δὲ χειμῶνι τὸ ἔμπαλιν τὰ μὲν βαθέα σφόδρα θερμά (κατὰ βάθους γὰρ αὐτῆς ἡ θερμότης χωρεῖ), τὰ δὲ ἄνω ἔψυκται, ὡς ἐπὶ τῶν ἀνθρωπίνων σωμάτων· τὰ μὲν γὰρ ἔνδον τῷ χειμῶνι θερμά ἐστιν, ὥστε καὶ ἐκ τῶν οὔρων καὶ ἐκ τῶν σκυβάλων καπνὸν ἀφιέναι. διὰ τοῦτο οἱ αὐχμοὶ καὶ τὰ ὀρύγματα χειμῶνι, ἐπειδὴ ἐν βάθει ἐστί, θερμά, τῷ δὲ θέρει ψυχρά. οἱ τοίνυν μύρμηκες ἐπειδὴ ἐν βάθει τῆς γῆς εἰσί, τῷ δὲ χειμῶνι τὰ ἐν τῷ βάθει πάντα πυροῦται, τὴν θερμότητα τὴν ὑπὸ γῆν οὐ φέροντες χειμῶνος ὄντος ἀνέρχονται καὶ τὰ ᾠὰ αὐτῶν μετάγουσι, καὶ εἰσὶ σημεῖα χειμῶνος. εἶπον δὲ ἔνιοι τῶν φιλοσόφων ὅτι ἐκ τῆς τοῦ ἡλίου κινήσεως τοῦτο συμβαίνει. ὅτε γὰρ χειμών ἐστι, τότε καὶ περιγειότερος γίνεται νότιος ὢν (τὰ δὲ νότια χθαμαλά) καὶ τὴν γῆν θερμαίνει· τῷ δὲ θέρει βόρειός ἐστιν, ὅθεν τὰ μὲν ἄνω θερμαίνεται, τὰ δὲ κάτω ἔψυκται. διὸ καὶ οἱ ποιηταὶ ἀστεϊζόμενοι ἐνίαις τῶν πηγῶν χειμῶνι θερμὸν ῥεῖν εἶπον, θέρει δὲ ψυχρόν. ἢ οἱ μύρμηκες ἐκ τῶν μυρμηκιῶν διὰ σπουδῆς ἔξω φέρουσι τὰ ᾠά, ψύχοντες ὑποψίᾳ σηπεδόνος· ἀντιπεριισταμένου γὰρ τῷ θερμῷ τοῦ ψυχροῦ καὶ τῶν μυρμηκιῶν πυρουμένων, αἰσθάνονται ὅτι ψῦχος ἔσται οἱ μύρμηκες.

957. ὁ ἴουλος σκώληξ ἐστὶ πολύπους· μυρίοις γὰρ ποσὶ χρῆται ὁμοίως ταῖς σκολοπένδραις. οἱ δὲ αὐτὰς τὰς σκολοπένδρας ἰούλους φασί. τὰ δὲ τῆς γῆς ἔ ν τ ε ρ α (959) οὕτω καλοῦνται πρῶτον μὲν ὅτι οὕτω πεφύκασι καὶ οὕτω φύσεως ἔχουσιν (ἐντέροις γὰρ ἐοίκασιν ἐπιμήκεις ὄντες), καὶ ὅτι ἐν βάθει τῆς γῆς εἰσὶν ὥσπερ ἔντερα. σημεῖον οὖν χειμῶνος καὶ τὰ τῆς γῆς ἔντερα. πάντων δὲ τούτων αἴτιον τῆς ἐπὶ τὰ ἔξω κινήσεως ὁ τοῦ ὑπεργείου θερμοῦ πλεονασμός.

960. τὰς κατοικιδίους ὄρνιθας λέγει· ἐδήλωσε γὰρ εἰπὼν “αἵ τινες

ἐκ τοῦ ἀλέκτορος ἐγίνοντο." τιθαὶ δὲ λέγονται αἱ ἥμεροι καὶ πραεῖαι. ἁπαλὸν δὲ τὸ σῶμα ἔχουσιν αἱ κατοικίδιοι ὄρνιθες· καὶ ἐπειδὰν ἀέρος ὑγρότητος αἴσθωνται καὶ ψύξις ἐμπέσῃ, εὐθὺς περὶ τὸ σῶμα δήξεώς τινος ἀντιλαμβάνονται καὶ αἰσθάνονται, καὶ συνεχέστερον φθειρίζονται, τῇ δήξει συνεχόμεναι· πιεζόμεναι δὲ μᾶλλον τῇ δήξει καὶ μεγάλως κρώζουσιν. ἔπειτα διδοὺς μίμησιν τῆς ποιᾶς φωνῆς αὐτῶν φησίν, ὥσπερ ὕδωρ ἐπὶ ὕδατι καταστάζον.

963. ὁμοίως καὶ οἱ κόρακες καὶ οἱ κολοιοὶ κατὰ συστροφὴν καὶ ἀγέλας φαινόμενοι τοῦ ἐκ Διὸς ἐρχομένου ὕδατος οἷον χειμῶνος ἐσομένου σημεῖόν εἰσι, τοῖς ἱέραξιν ὁμοίως φθεγξάμενοι, δηλονότι ὀξείᾳ φωνῇ κραυγάζοντες· τοιαύτη γὰρ ἡ τῶν ἱεράκων φωνή. ἄλλως. καὶ κολοιοὶ δὲ ἔστιν ὅτε καὶ κόρακες ἀγεληδὸν πετόμενοι, καὶ ἱέρακι ὅμοιον φθεγγόμενοι, καὶ μιμούμενοι τὸν ἀπὸ τῶν σταλαγμῶν ψόφον κόρακες, ὑετὸν προδηλοῦσιν· ἢ καὶ ἀνακρώζοντες μεγάλῃ τῇ φωνῇ καὶ τὰς πτέρυγας τινάσσοντες. καὶ αἱ κατοικίδιοι δὲ νῆσσαι καὶ οἱ κολοιοὶ τινάσσοντες τὰ πτερὰ τὰ ὅμοια δηλοῦσιν.

966. καὶ οἱ κόρακες ὕδατος καὶ ὄμβρου γενησομένου ἐμιμήσαντο τῇ φωνῇ τοὺς μεγάλους σταλαγμούς, οὕτω, κλάξ. δῖος δὲ ἀντὶ τοῦ μεγάλους. καὶ Ὅμηρος "εἰς ἅλα δῖαν." ἢ οὕτως. ἐὰν συγκεχυμένην τὴν φωνὴν ἔχωσιν, ὁμοίαν σταλαγμοῖς ὄμβρου, χειμῶνα σημαίνουσιν.

968. καί ποτε πάλιν βαρείᾳ τῇ φωνῇ καὶ τῇ συνεχείᾳ τῆς κραυγῆς ἐσομένου χειμῶνος σημεῖον γίνονται. ἐνδιαθέτως γὰρ αὐτοὺς βοῶντας παραδείκνυσι· φιληδοῦσι γὰρ τοῖς ὑγροῖς. τὸ δὲ μακρὸν ἐπιρροιζεῦσιν (969) ἀντὶ τοῦ μεγάλως ἠχοῦσι τοῖς πτεροῖς, πάντα αὐτῶν τὰ πτερὰ ἀνατιναξάμενοι.

970. νῆσσα εἶδός ἐστιν ὀρνέου. ὁ δὲ λόγος, καὶ αἱ τῶν νησσῶν οἰκουροὶ καὶ οἱ περὶ τοὺς ὀρόφους ἀναστρεφόμενοι κολοιοὶ κατὰ τὰς τῶν οἰκημάτων ἐξοχὰς ὑπὲρ τοῦ ζητεῖν σκέπας ἀνατινάσσοντες τὰ πτερὰ σημεῖά εἰσι χειμῶνος. πάντα δὲ τὰ ὄρνεα διαινόμενα τινάσσουσι τὰ πτερά. γεῖσσα δὲ (971) ἡ τῶν οἰκημάτων ἐξοχή, εἰς ἣν ἐπικαθίζονται ζητοῦντες σκέπας, ἢ τὰ λεγόμενα σκόμια. καὶ Εὐριπίδης "ῥήξας παλαιὰ γεῖσσα, τεκτόνων πόνον." διατινάσσουσι δὲ τὰς πτέρυγας διὰ τὴν τοῦ ἀέρος ὑγρότητα.

972. ἢ ὅταν ἐρωδιὸς μετὰ πολλῆς κλαγγῆς ἐπὶ τὴν θάλασσαν σπεύδῃ, τὸ αὐτὸ δηλοῖ.

973. τούτων πάντων τῶν προειρημένων τεκμηρίων μηδέν σοι ἔστω ἀπόβλητον τῷ τὸ ἐκ Διὸς ὕδωρ σκοπουμένῳ καὶ ἐπιτηροῦντι χειμῶνα ἐσόμενον.

974. αἱ μυῖαι τοῖς ὑγροῖς σφόδρα χαίρουσι, καὶ ἀεὶ τὰς ὑγρὰς οὐσίας σιτοῦνται. ὅτε τοίνυν ὑγροῦ ἀέρος αἰσθάνονται χειμῶνος ἐσομένου καὶ τὸ σῶμα ὑγραίνεται, τότε μᾶλλον καθάπτονται τοῦ αἵματος ὑγραι-

Digitized by Google

νομένου ἐκ τοῦ περιέχοντος. ὁ δὲ λόγος, μηδὲ ἐὰν πλέον τοῦ χθὲς αἱ μυῖαι δάκνωσι καὶ ἐπιθυμῶσι τȣ̃ αἵματος τῆς σαρκός, μηδενὸς τȣ́των καταφρόνει. ἢ διὰ τȣ̃το αἱ μυῖαι σφοδρότερον δάκνȣσαι πύκνωσιν τȣ̃ ἀέρος δηλȣ̃σιν, ἐπειδὴ ἀνακοπτομένȣ τȣ̃ ὕδατος μέγα καὶ σφοδρότερον νύσσȣσιν. ἢ καὶ πλείονος ὑγρȣ̃ δέονται διὰ τὴν θερμότητα. ἢ ἐν βάθει τȣ̃ αἵματος χωρȣ̃ντος δάκνȣσι μᾶλλον διὰ τὴν πύκνωσιν τȣ̃ δέρματος, ἵνα ἐφίκωνται τȣ̃ αἵματος. ἢ καὶ δι᾽ αὐτὴν τὴν τȣ̃ δέρματος πύκνωσιν πλείονος δεῖται πληγῆς· ἠραιωμένȣ γὰρ τȣ̃ δέρματος ἐκ τῶν ἀδήλων πόρων ῥαδίως ἑλκȣ́σαις εἵκει τὸ αἷμα.

976. τὸ πῦρ ὡμολόγηται ξηρᾶς ȣ̓σίας, ὑγρὸς δὲ ὁ ἀήρ. πολλάκις ȣ̓̃ν ἐν χειμῶνι ἐμπίπτων τῷ πυρὶ ἀποτελεῖ τȣ́τȣς τȣ̀ς σπινθῆρας· δύο γὰρ ȣ̓σίαι ἐναντίαι ἀλλήλαις ἐμπίπτȣσαι τȣ̃το ἀποτελȣ̃σι· τὸ γὰρ πῦρ μὴ φέρον τὸ ὑγρὸν τοῦ ἀέρος τοῦ ἐμπεσόντος ἀφίησί τινας σπινθῆρας. ὅπερ καὶ ὁ Καλλίμαχος νοήσας εἶπεν "εὖτ᾽ ἂν λύχνȣ δαιομένȣ ἄδδην ἐγένοντο μύκητες." προσέχειν ȣ̓̃ν δεῖ, ὁπόταν καὶ περὶ τὰς μύξας τῶν λύχνων μύκητες ἀθροίζωνται. συμβαίνει δὲ τοῦτο διὰ τὸ πάχος τοῦ ἀέρος· καὶ γὰρ κατὰ τὴν χειμερινὴν ὥραν τὸ περὶ τῷ λύχνῳ φῶς ποτὲ μὲν ἐν τάχει φέρεται, ποτὲ δὲ πομφόλυξιν ὅμοια ἀποβάλλει. ταραχῆς δὲ ἀέρος ταῦτα σημεῖα.

977. μηδὲ τȣ̃το, φησί, τὸ τεκμήριον παραπέμπȣ, ὅταν ἐν καιρῷ χειμῶνος τὸ ἀπὸ τῶν λύχνων φῶς ἔσθ᾽ ὅτε μὲν κοσμίως φαίνηται, ἄλλοτε δὲ πολλῆς ὑγρότητος ἀέρος ἐμπιπτȣ́σης ἀπὸ τȣ̃ πυρὸς ὥσπερ τινὰ πυρώδη ἐπαναςήματα ὁρμᾷ καὶ φαίνηται. κυρίως μὲν ȣ̓̃ν πομφόλυξ ἐςὶν ἡ ἐπιπεσόντος ὕδατος ἐν ὑποκειμένῳ ὕδατι ἐπανάςασις· νῦν δὲ ἐπὶ πυρὸς κατεχρήσατο. ὥσπερ ȣ̓̃ν ἐν πυρὶ ἢ λύχνῳ καιομένῳ, ἐὰν ὕδωρ ἐπιῤῥάνωμεν, εὐθέως τȣ̃ πυρὸς φλογώδεις γίνονται ἐπαναςάσεις, τὸν αὐτὸν τρόπον ὑγρότητος ἐμπιπτȣ́σης μετά τινος ὀλίγȣ ἦχȣ αἱ τȣ̃ πυρὸς γίνονται περὶ τὸν λύχνον πομφόλυγες. ὅταν ȣ̓̃ν περὶ ἀπτȣ́μενον λύχνον μύκητες συνιςῶνται περὶ χειμῶνος ὥραν, καὶ ὅταν αἱ πομφόλυγες ποτὲ μὲν τεταγμένως καὶ κατὰ φύσιν εἰς ὕψος ἀναφέρωνται, ποτὲ δὲ πλαγιάζωνται, καὶ λεπταὶ πομφόλυγες περὶ αὐτὰς γίνωνται καὶ σπινθῆρες ἀποῤῥέωσι, μηδὲ τȣ̃το ἔξω σοι ἀπόβλητον κατὰ κοινȣ̃ σημεῖον.

980. ἐπ᾽ αἰτόφι: ἤγȣν ἐπ᾽ αὐτȣ̃ τοῦ λύχνου. τῆς παχύτητος καὶ ὑγρότητος ἐκνικώσης σφόδρα δι᾽ ὅλȣ ὁ λύχνος λάμπειν ȣ̓ δύναται, ἀλλ᾽ ἀκτῖνας ἀφίησι λεπτὰς καὶ ἐσκορπισμένας, καὶ ἔςιν ἰδεῖν πόῤῥωθεν τȣ̃ λύχνȣ ἀποςάντας διηκȣ́σας λεπτὰς ἀπ᾽ αὐτȣ̃ ἀκτῖνας διὰ τὸ μὴ δύνασθαι δι᾽ ὅλȣ λάμπειν ἐκ τȣ̃ ὑποκειμένȣ ἀέρος. μηδὲ τȣ́τȣ ȣ̓̃ν τȣ̃ σημείȣ καταφρόνει.

981. εἴπομεν (924) ὅτι ἀδιάκριτοί εἰσιν αἱ τȣ̃ ἔτȣς ὧραι ἐν ταῖς ἄλλαις χώραις. μὴ καταφρονήσῃς ȣ̓̃ν τȣ́τȣ τȣ̃ σημείȣ, ἐάν ποτε θέρȣς ἀναπεπταμένȣ καὶ πάνυ καθαρȣ̃ ὄντος τὰς νήσȣς τȣ̀ς ὄρνις ἀλλεπαλ-

λήλας θεάσῃ ἀνερχομένας, μηδὲ παραπέμψῃς· χειμὼν γὰρ ἔσται. ἢ ἐὰν εὐδίας οὔσης ὡς ἐν θερινῷ καταστήματι αἱ νῆσσαι κατὰ πλῆθος συνηθροισμέναι φέρωνται ἐπ' ἀλλήλαις, χειμῶνα ἐκδέχου ἐσόμενον.

983. μὴ ἀμελήσῃς δέ, φησί, μηδὲ τῶν περὶ ταῖς χύτραις καὶ τοῖς πυριστάταις τρίποσι συμβαινόντων, ὅταν σπινθήρων πλῆθος περὶ αὐτοὺς βλέπηται.

985. ὁμοίως δὲ καὶ ὅταν ἐν τῇ σποδιᾷ ὑπὸ τοῖς διαπύροις ἄνθραξιν ἀπόῤῥοιαι γίνωνται κέγχροις ὅμοιαι, ὄμβρους δεῖ προσδοκᾶν καὶ χειμῶνα. τὸ δὲ τοιοῦτον συμβαίνει διὰ τὴν πολλὴν τοῦ ἀέρος ἀγωγήν. ἐὰν οὖν καιομένων ἀνθράκων ἐπὶ τῇ σποδιᾷ οἱονεὶ κέγχροις ὅμοιοι σπινθῆρες ὁρῶνται, ὄμβρους ἐκδέχου. σποδιὰν δὲ λέγει αὐτὴν τὴν ἐσχάραν, τὴν ἑστίαν.

988. ἠερόεσσα ἤγουν λεπτομερής. ἐὰν οὖν τοιαύτη νεφέλη ταῖς ὑπωρείαις παρεκτείνηται, αἱ δὲ ἀκρώρειαι καθαραὶ φαίνωνται, εὐδίαν ἴσθι γινομένην. ὁμοίως δὲ καὶ ἐὰν ἐν τῇ θαλάσσῃ ὁμοία πλαταμῶνι ἐπικάθηται νεφέλη λεία καὶ λευκή, καὶ αὐτοῦ οὐ μετεωρίζηται, προσδόκα· αἱ γὰρ τοιαῦται διὰ τὴν λεπτομέρειαν εὐδίαν μᾶλλον καὶ συστολὴν τοῦ ἀέρος ἐμφαίνουσι. τὸ δὲ παρέξ, ἡ μὲν παρὰ τὴν ἐγγύτητα σημαίνει, ἡ δὲ ἔξ τὴν ὀλίγην ἀπὸ τοῦ ὄρους ἀποχήν. πυθμένι δὲ (989) τὴν ὑπώρειαν λέγει· πυθμένες γὰρ ὀρῶν καλοῦνται αὗται αἱ ὑπώρειαι. μεταβεβηκὼς οὖν ἐπὶ τὰ τῆς εὐδίας σημεῖα, φησὶν ὅτι καὶ ἐὰν ἀχλυώδης νεφέλη παρὰ τὸν πυθμένα καὶ τὴν πεδιάδα τοῦ μεγάλου ὄρους τείνηται καὶ φέρηται, τὰ δὲ ἐν ὕψει τοῦ ὄρους καθαρεύοντα νεφῶν φαίνηται, σφόδρα εὔδιον ἂν εἴη τὸ κατάστημα τοῦ ἀέρος. ἢ ἐὰν αἱ νεφέλαι τὰ ἔσχατα τῶν ὀρῶν τὰ παρὰ τοῖς πυθμέσι σκεπῶσιν, αἱ δὲ ἀκρώρειαι καθαραὶ θεωρῶνται, εὐδίαν δεῖ προσδοκᾶν. ὡσαύτως καὶ ὅταν παρὰ τοῖς αἰγιαλοῖς νέφος οἷα ἀγχιβαθὴς καὶ ἐπιμήκης πέτρα θεωρῆται, εὐδίαν σημαίνει. ἢ ἐὰν ἐπὶ τὸν πόντον χθαμαλὴ νεφέλη φέρηται, ἀνέμων μὴ ἀναῤῥιπιζόντων αὐτὴν ἐν ταπεινώσει οὖσαν σχεδὸν καὶ πλησίον τοῦ ὕδατος, εὐδίαν σημαίνει. πλαταμὼν δέ ἐστι (993) πέτρα ὀλίγον ἐξέχουσα τῆς θαλάσσης, λεία τις οὖσα καὶ ὁμαλὴ καὶ πλατεῖα. Ἀπολλώνιος (1, 364) "εἵματα εἵσατο λεῖα ἐπὶ πλαταμῶνι, τὸν οὐκ ἀπέβαλλε θάλασσα κύμασι, χειμερίη δὲ πάλαι ἀπέκλυζεν ἅλμη." ὁ δὲ λόγος, εὔδιον ἂν εἴη τὸ κατάστημα τηνικαῦτα, ὅταν ἐπὶ τὸν πόντον φαίνηται νεφέλη, καὶ μὴ ἐν ὕψει ὑπάρχῃ, ἀλλ' αὐτοῦ πλησίον τοῦ πόντου παραθλίβηται, τοῖς πλαταμῶσιν ὁμοίως. καὶ γὰρ καὶ αὐτὴ ἡ νεφέλη ὁμοίως ὀλίγον προνενευκυῖα τῆς θαλάσσης ὑπάρχει, καθάπερ ὁ πλαταμών· ἔστι γὰρ πλαταμών, ὡς ἔφην, ἡ ὀλίγον ὑπερκύπτουσα τῆς θαλάσσης ὁμαλὴ πέτρα καὶ ὕφαλος.

994. εὐδίας μὲν οὔσης σημεῖον λάμβανε χειμῶνος, χειμῶνος δὲ ὄντος σημεῖα ζήτει γαλήνης· μάλιστα δὲ πάντων σκόπει τὴν Φάτνην καὶ ζήτει· καθαιρομένης γὰρ τῆς ἀχλύος μεταβολὴν τὴν ἐκ χειμῶνος εἰς

εὐδίαν ὑποδηλοῖ. περισκόπει οὖν τὰ τεκμήρια τοῦ χειμῶνος, ὅταν ἐν εὐδίᾳ ᾖς, ἀπὸ δὲ χειμῶνος λήγοντος τὰ τῆς γαλήνης· σφόδρα δὲ ἀναγκαῖόν ἐστιν ἀφορᾶν πρὸς τὴν Φάτνην, ἣν ὁ Καρκίνος κύκλῳ περιέχει. περισκόπει δὲ αὐτὴν πρῶτα καθαιρομένην (997) ἤγουν ἤδη ἀρχομένην αὐτὴν τοῦ καθαίρεσθαι, πάσης ὁμίχλης ὑπένερθεν γινομένης καὶ ἐκτὸς αὐτῆς.

998. ἐκείνη γὰρ (ἡ Φάτνη) φθίνοντος χειμῶνος καθαίρεται. καὶ δῆλον ὅτι σφόδρα ἀκριβὲς τὸ σημεῖόν ἐστιν εὐδίας· ἡ γὰρ Φάτνη σφόδρα ἐστὶν ἀμαυρὰ καὶ δυσκατάληπτος, καὶ ὑπὸ ὀλίγης δυσκρασίας ἀέρος ἀφανιζομένη. ὅτε δὲ φαίνεται καθαρά, δῆλον ὅτι οὐδ' ἡ τυχοῦσα ὑπόκειται δυσκρασία, ἀλλὰ πάντῃ καθαρός ἐστιν ὁ ἀήρ. τὸ δὲ πάσης ὑπένερθεν ὁμίχλης (997) οὐ τὴν Φάτνην κατωτέρω πάσης ὁμίχλης φησίν (ἡ γὰρ τῶν ἀέρων δυσκρασία πολὺ τοῦ οὐρανοῦ κατωτέρω), ἀλλὰ πάσης ὁμίχλης κατωτέρω καὶ ἐκτὸς γινομένης τοῦ Καρκίνου καὶ τῆς Φάτνης.

999. προείπομεν τίνα συμβαίνει τῷ λύχνῳ ἐν τῷ χειμῶνι. ἥσυχα οὖν φαίνων δηλοῖ εὐδίαν. ὁ δὲ νοῦς, καὶ τὰς τῶν λύχνων δὲ φλόγας ἡσυχίους, τουτέστι μὴ σπινθηροκόμπους οὔσας μηδὲ κτυπούσας, σημεῖον εὐδίας ἴσθι, καὶ τὰς νυκτερινὰς γλαῦκας ἀταράχως βοώσας (ἐν γὰρ τῷ χειμῶνι περιεχομένας τῷ κρύει ἴδοι τις ἂν κραυγαζούσας ἀτάκτως), καὶ τὰς κορώνας δὲ ἠρέμα καὶ ποικίλῃ τῇ φωνῇ χρωμένας. αἵ τε γὰρ φλόγες ὑπ' οὐδενὸς ταρασσόμεναι κατὰ τὸν ἴδιον φέρονται θεσμόν, τά τε ὄρνεα ἀτακτοῦντα ὥσπερ ὑφ' ἡδονῆς τοῦτο πάσχει. τὸ δὲ ἥσυχα ποικίλλουσα (1001) τουτέστι ποικίλλουσα τὴν φωνὴν αὐτῆς εἰς διαφορὰς φωνῶν καὶ πολύφωνα κρώζουσα. προείπομεν δὲ ὅτι καὶ οἱ κόρακες καὶ αἱ κορῶναι ἀρχομένου χειμῶνος εὐφραινόμεναι φαίνονται. λοιπὸν δὲ προϊόντος καὶ ἐπίτασιν τοῦ κρύους ἔχοντος οὐκέτι χαίρουσιν, ἀλλ' ἀρχομένου θέρους πάλιν ἐφώνησαν ἡδόμεναι· τὰς γὰρ τῶν καιρῶν ὑπερβολὰς οὐ φέρουσι. φασὶ δὲ ὅτι ὅταν ἡ κορώνη τῇ φωνῇ ποικίλῃ καὶ ἥσυχα κρώζῃ καὶ μὴ τραχέα, δηλοῖ ὑφ' ἡδονῆς εὐδίαν.

1003. καὶ κόρακες μοῦνοι: τὴν αἰτίαν αὐτὸς εἶπε· χαιρόντων γὰρ αἱ τοιαῦται φωναὶ καὶ αἱ κινήσεις ἐκθαρσησάντων τῇ καθαρότητι τοῦ ἀέρος. πρῶτον δὲ ἰδίᾳ βοῶσιν, ἀλλήλοις προσημαίνοντες· εἶτα πιστεύσαντες ἅμα καὶ γεγηθότες δάπτανται. ὁ δὲ νοῦς, καὶ οἱ κόρακες ἐπιεικῶς φθεγγόμενοι καὶ ἐπαναδιπλοῦντες τὴν φωνήν, ἔπειτα λαμπροτέρᾳ τῇ φωνῇ χρώμενοι, καὶ περὶ τὴν τοῦ ὕπνου ὥραν συνεστιαζόμενοι, καὶ μετὰ γοερωτέρας φωνῆς ἐπὶ τὴν ἀνάπαυσιν χωροῦντες, παραπλήσιοι ἡδομένοις ἐπὶ τῷ εὐδιεινῷ καταστήματι καὶ ἐν τῇ ἐγρηγόρσει τῇ φωνῇ τερπόμενοι, ἐν δὲ τῷ ὀρθρινῷ καιρῷ πολλοὶ μὲν ἐπὶ τῷ φλοιῷ τῶν δένδρων, πολλοὶ δὲ ἐπὶ τοῖς ἀκρέμοσι παρεικότες τὰ πτερὰ καὶ ἥσυχα διατελοῦντες εὐδίαν σημαίνουσι. τὸ δὲ πλειότεροι δ' ἀγεληδὸν (1005) ἤγουν πλειοτέρας φωνῆς ἐχόμενοι, τουτέστιν ἔμπλεοι γενόμενοι, ἀγε-

Digitized by Google

ληδὸν ὄντες, ἐπειδὰν τοῦ κοίτου φροντίδα ποιήσωσι. τὸ δὲ χαίρειν κέ τις ὠΐσαοιτο (1006), ὡς ἐκ τοῦ φθέγματος δηλαδὴ χαίρειν ἄν τις ὑπολάβοι αὐτούς, ὅπως κρώζουσιν ἥσυχα καὶ ἀνειμένα· τοῦτο γάρ ἐστι τὸ λιγαινομένοισιν ὁμοῖα (1007). τὸ δὲ πολλὰ δενδρείοιο (1008) ἀντὶ τοῦ πολλοί. καὶ ὅταν ἐν τῷ δένδρῳ, εἰς ὃ αὐλίζονται, περὶ τὸν φλοῦν καὶ τὸν στέλεχον καθεσθέντες κρώζωσι καὶ μέλη ἄλλα λέγωσιν, εὐδίαν σημειούμενοι. τὸ δὲ ἧχί τε κείουσιν (1009) ἤγουν ἐν ᾧ αὐλίζονται καὶ καθέζονται· ἐὰν γὰρ ἀπ᾽ αὐτοῦ αἰρόμενοι καὶ πετασθέντες πάλιν ἐπ᾽ αὐτὸ ὑποστραφεῖεν, εὐδιεινὸν τὸ περὶ τὸν ἀέρα κατάστημα γίνωσκε· χαιρόντων γὰρ αἱ τοιαῦται φωναὶ καὶ κινήσεις ἐκθαρσησάντων τῇ καθαρότητι τοῦ ἀέρος. δηλῶσαι οὖν βουλόμενος τὸ δένδρον ἔφη ὅπου τε κείουσι. τινὲς οὖν τὸ "ἧχί τε κείουσιν" εἰς δύο μέρη διαιροῦντες, τὸ τεκείουσι ῥῆμά φασιν ἀπὸ τοῦ τεκείω, ἵν᾽ ᾖ ὅπου γεννῶσι· κρεῖττον δὲ λέγειν ἧχί τε κείουσιν, ἤγουν ὅπου κοιμῶνται, ἀπὸ τοῦ κείω, τοῦ τέ συνδέσμου ὄντος, ἵν᾽ ᾖ, ὅπου καὶ τὴν κοίτην ἔχουσι καὶ ὅπου αὐλίζονται καὶ τῆς πτήσεως παύονται. τὸ γὰρ ἀπτερύονται (1009) οἱονεὶ τὰ πτερὰ χαλῶσιν, ἢ διασείουσι τὰς πτέρυγας ὑποστρέφαντες· διακινοῦσι γὰρ τὰς πτέρυγας ἤτοι ὑφ᾽ ἡδονῆς τὴν κοίτην καταλαβόντες, ἢ τὴν ἐκ τοῦ ἀέρος ἰκμάδα διατινάσσοντες. καὶ παρ᾽ Ἀρχιλόχῳ "ὑφ᾽ ἡδονῆς σαλευομένη κορώνη." τὸ δὲ ὑπότροποι ἀντὶ τοῦ τραπέντες ἀπὸ τοῦ νομοῦ πάλιν ὡς ἐπὶ τὴν κοίτην. ἐν δὲ τῷ ἀπτερύονται προσέθηκε τὸ ᾱ διὰ τὸ μέτρον· πτερύσσειν γάρ ἐστι καὶ πτερύειν. ἐτυμολογεῖται δὲ οἱονεὶ πτεροσείειν.

1010. καὶ γέρανοι συνηθροισμέναι, ὅταν μακρὰν πτῆσιν ἀνύσωσι καὶ μὴ εἰς τοὐπίσω ὑποστραφῶσιν, εὐδίαν δηλοῦσι· προγινώσκουσαι γὰρ πολλῶν ἡμερῶν εὐδίαν γενησομένην αἴρονται εἰς ὕψος καὶ ἐπιθαῤῥοῦσι τῷ διαστήματι τῆς πτήσεως. αἱ γὰρ γέρανοι τὰς τῶν καιρῶν ὑπερβολὰς οὐ φέρουσιν, ἀλλὰ χειμῶνος μὲν ἀπὸ Θρᾴκης ὡς ἐπὶ τὰ θερμότερα φεύγουσι καὶ εἰς τὴν Αἴγυπτον διατρίβουσι, πάλιν δέ, ὅτε χειμών, τὸν αὐτὸν ἀνύουσι δρόμον. καὶ ἐὰν πετομένων αὐτῶν πνεύματα ποιητικὰ ἐμπέσῃ χειμῶνος, οὐκέτι αἱ πᾶσαι τὸν αὐτὸν ἀνύουσι δρόμον, ἀλλὰ φεύγουσι τὰ πνεύματα ἐξ ὑποστροφῆς, ἀτάκτως ποιοῦσαι τὰς πτήσεις μετὰ κλαγγῆς καὶ ψόφου, δεδοικυῖαι τὸν χειμῶνα. βοῶσι δὲ πάλιν ὡς ἡδόμεναι, ὅταν εἰς τὰ θερμὰ τῶν τόπων ἐν χειμῶνι γένωνται. φησὶ γὰρ καὶ ὅτι τὸν αὐτὸν ἀνύουσι δρόμον, εὐδίαν δηλοῦσιν· ἐπάγει γὰρ οὐδὲ παλιῤῥόθιοι καὶ ὑπεύδιοι φορέοιντο (1012). καὶ Ὅμηρος "κλαγγῇ ταίγε πέτονται ἐπ᾽ ὠκεανοῖο ῥοάων." καὶ Ἡσίοδος "φράζεο δ᾽ αὖτε ἐὰν γεράνων φωνῆς ἐπακούσῃς ὑψόθεν ἐκ νεφέων ἐνιαύσια κεκληγυίης, ἥτ᾽ ἀρότοιό τε σῆμα φέρει καὶ χείματος ὥρην δεικνύει ὀμβρινοῦ." ἐν εὐδίᾳ οὖν κἂν παλιῤῥόθιοι καὶ ἀτάκτως φέροιντο, ἀλλὰ λεῖόν τινα καὶ τὸν αὐτὸν ἀποτελοῦσι δρόμον, ἢ ὅτε πνεύματος μὲν σκληροῦ

ὄντος διὰ τὴν πύκνωσιν τοῦ ἀέρος παλινδρομοῦσιν αἱ γέρανοι, ἐν δὲ ἀκύμονι καὶ κεχυμένῳ καὶ λείῳ καὶ ἀπταίστῳ εὐδρομοῦσιν.

1013. μεταβέβηκε πάλιν ἐπὶ τὰ τοῦ χειμῶνος σημεῖα, καὶ φησίν, ὅταν ἴδῃς ἐν καθαρῷ ἀέρι αἰφνιδίως ἀμβλυνομένους ἀστέρας, μήτε νέφους μήτε ἄλλης τινὸς ἀχλύος ἐπισκιαζούσης, μήτε σελήνης ἐπιπροσθούσης, χειμῶνα προσδόκα. δηλοῖ δὲ ὅτι ἡμῖν ἀνεπαισθήτως ὁ ἀὴρ παχυμερὴς γινόμενος τοῦτο ποιεῖ. γίνεται δὲ τοῦτο αὐχμοῦ ἐπιπροσθοῦντος τοῖς ἄστροις καὶ τὸ λαμπρὸν αὐτῶν ἀμβλύνοντος. τὸ οὖν οὐδὲ σελήνη (1015) προσέθηκεν, ἐπειδὴ ἡ σελήνη σκέπει τῷ ἰδίῳ φωτὶ καὶ ἀμαυροῖ τοὺς ἀστέρας. εἰ οὖν ἄνευ τούτων ἐξαίφνης σκοτεινὰ τὰ ἄστρα γένηται, χειμὼν ἔσται.

1018. ὡσαύτως καὶ ὅταν τῶν νεφελῶν αἱ μὲν ὑψηλότεραι ἐν τῷ αὐτῷ τόπῳ μένωσιν ἀκίνητοι, αἱ δὲ ὑπ' αὐταῖς ὑπορριπίζωνται, αἱ μὲν προηγούμεναι, αἱ δὲ καταλαμβάνουσαι. ἢ ὡσαύτως χειμῶνας, ὅταν ἔν τινι τόπῳ τῶν νεφελῶν αἱ μὲν ἐν τῷ αὐτῷ τόπῳ μένωσιν ἀκίνητοι, ἄλλαι δὲ ἀπ' αὐτῆς ἐκείνης τῆς χώρας καὶ τοῦ τόπου ἐκείνου ἐξέλθωσιν, αἱ μὲν τὰς ἱσταμένας παρατρέχουσαι, ἄλλαι δ' ὄπισθεν ἐρχόμεναι.

1021. τὰς χῆνας καὶ τὰ λοιπὰ ἐφεξῆς, ἃ καταλέγει, ὄρνεα ταραχωδῶς καὶ μετὰ πολλῆς κινούμενα κραυγῆς σύμβολά φησι γίνεσθαι χειμῶνος· τῆς γὰρ τοῦ ἀέρος ἀκρασίας αἰσθανόμενα οὐ φυλάττουσι τὴν προτέραν εὐκοσμίαν. τὸ δὲ ἐπειγόμενοι ἀντὶ τοῦ ἐξίασιν εἰς νομὴν μετὰ φωνῆς πλείονος τοῦ εἰωθότος βοσκόμενοι διὰ τὸ μηκέτι δύνασθαι εὐχερῶς ἐξελθεῖν καὶ βοσκηθῆναι ἐκ τοῦ χειμῶνος τοῦ γενομένου.

1022. ἐννεάγηρα: ἐννέα γὰρ γενεῶν ἔτη ζῇ ἡ κορώνη. ἢ τὸ ἐννέα ἀντὶ τοῦ πολλὰ ποιητικῶς ληπτέον. καὶ ἡ πολύγηρα οὖν κορώνη ὀξέα κρώζουσα νυκτὸς χειμῶνός ἐστι δηλωτική.

1023. καὶ πρὸς τὴν ἑσπέραν βοῶντες οἱ κολοιοὶ σημεῖόν εἰσι χειμῶνος, ὅταν δηλαδὴ ἑσπερίζοντος τοῦ καιροῦ κοίτης χρῄζωσι. βοῶσι δὲ χάριν τῆς αὐτῶν κοίτης· ὡς γὰρ εἴπομεν, πρὸ τοῦ χειμῶνος ἔρχονται αὐτοῦ. τῷ δὲ βοῶντε δυϊκῷ ἀριθμῷ ἐχρήσατο ἀντὶ πληθυντικοῦ· τοῦτο γὰρ ἔθος αὐτῷ, ὃ καὶ Ὅμηρος οἶδεν.

1024. εἶδος ὀρνέου καὶ ὁ σπίνος. τὸ δὲ ἠῷα σπίζων, ἤγουν ὁ σπίνος ὑπὸ τὸν ὄρθρον φθεγγόμενος.

καὶ πάντα τὰ ὄρνεα, φησίν, ἐκφεύγοντα τὸ πέλαγος διὰ τὴν ψύξιν σημεῖόν εἰσι χειμῶνος.

1025. καὶ ὀρχίλος ἢ καὶ ἐριθεύς· καὶ ταῦτα εἴδη εἰσὶν ὀρνέων. δῆλον δὲ ὅτι εἰς φωλεοὺς καταδυόμενα τὸν ἐπιόντα προδεικνύουσι καὶ προσημαίνουσι χειμῶνα.

1026. καὶ τὰ συστήματα τῶν κολοιῶν πρὸς τὴν ἑσπέραν ἐπὶ κοίτην ἐρχόμενα ἀπὸ τῆς ἐν τῇ γῇ κατανομῆς χειμῶνα δηλοῦσι. τραφεροῦ δὲ (1027) τῆς γῆς, ἐπειδὴ τὰς ἀρούρας βόσκονται, τὰ ἀποβαλλό-

μενα ἢ ἐκπίπτοντα τῶν καρπῶν διεπόμενοι. ἐπὶ ὄψιον δὲ αὖλιν τὴν ἑσπερινὴν κοίτην.

1028. ἐπιξουθαί: ἤγουν αἱ κατάστικτοι μέλισσαι. ὁ δὲ νοῦς, μεγάλου χειμῶνος ἰόντος οὐδὲ αἱ ξουθαὶ μέλισσαι ἐπὶ τὸ πρόσω (ἤγουν ἐκτός) τὴν κατανομὴν τῶν σίμβλων ποιοῦνται, ἀλλ᾽ αὐτοῦ καὶ ἐν αὐτῷ τῷ τόπῳ ἑλίσσονται καὶ ἀναστρέφονται, ἢ ἑλίσσουσι τὰ τοῦ μέλιτος καὶ τῶν ἔργων φροντίσματα. οἱ δὲ ἔργων τῶν γεωργικῶν ἀνθῶν· ἐν γὰρ τοῖς ἀγροῖς καὶ μόνον αὐτῶν εἰσὶν αἱ ὁδοί. ἐξιοῦσαι οὖν τῶν σίμβλων εὐθέως ἔρχονται ἐπὶ τοὺς ἀγροὺς καὶ πλησίον βόσκονται, μή ποτε ἄφνω ἐπιγένηται χειμών, ἵνα ἐγγὺς ὦσι τῶν σίμβλων. ἢ ὅτι αἱ μέλιτται ἐγγὺς τῶν κυψελῶν ἀναστρεφόμεναι καὶ μὴ πόῤῥω τὴν νομὴν ποιοῦσαι (δυσριγόταται γάρ) χειμῶνα προδηλοῦσι καὶ προφαίνουσιν ἐσόμενον.

1031. καὶ ταῦτα δὲ σημεῖα χειμῶνος, γέρανοι μὴ εὐθυποροῦσαι ἱπτάμεναι, ἀράχνια νηνεμίᾳ μετακινούμενα, φλὸξ ἀπὸ λύχνου μὴ καθαρά, καὶ μόλις ἁπτόμενον πῦρ. πῆξις δὲ τέφρας νιφετοῦ σημεῖον, καὶ τὰ περὶ τὰς μύξας τῶν λύχνων κέγχροις ὅμοια φαινόμενα· καὶ γὰρ καὶ τοῦτο νιφετοῦ σημεῖον· χαλάζης δὲ διαπύρου ἄνθρακος τὸ μέσον νεφελῶδες. φασὶν οὖν τὰς γεράνους ὄμβρων μελλόντων καταφέρεσθαι οὐ μετεώρους αἴρεσθαι, ἀλλὰ καὶ τῆς εὐθείας ἐμποδίζεσθαι πτήσεως· αὕτη γὰρ (ἡ γέρανος) δυσπαθὲς ἔχει τὸ σῶμα, καὶ πρὸς τὰς τῶν ὡρῶν ὑπερβολὰς ἀντέχειν οὐ δύναται. ὁ δὲ νοῦς, αἱ δὲ τῶν γεράνων μακραὶ τάξεις τὰς αὐτὰς ὁδοὺς τείνουσαι οὐ (τοῦτο γὰρ ἦν εὐδίας σύμβολον) ἀλλὰ ἀποστραφεῖσαι τὸ ὑγρὸν πνεῦμα καὶ ἐξ ὑποστροφῆς πορευόμεναι τὸ αὐτὸ σημεῖόν εἰσι. καὶ γέρανοι οὖν μὴ διαιρόμεναι εἰς ὕψος μηδ᾽ ἐπ᾽ εὐθείας ποιούμεναι τὴν πτῆσιν, ἀλλ᾽ ὑποστρέφουσαι εἰς τοὺς τόπους ὅθεν ἐκινήθησαν, τὸ αὐτὸ σημεῖόν εἰσιν.

1033. καὶ ὅταν τὰ ἀράχνια νηνεμίας οὔσης ἐν τῷ ἀέρι πλάζωνται. ὡσαύτως καὶ ὅταν ἀμαυρὸν ᾖ τὸ περὶ τοὺς λύχνους φέγγος καὶ μὴ εἰς ὕψος ἀνάπτηται, ἀλλὰ περιαστράπτηται ὅμοιον γινόμενον τοῖς ἐπὶ τῶν θερμοτέρων ἀτμῶν τιθεμένοις λύχνοις, τὸ αὐτὸ σημεῖον. καὶ τὸ πῦρ ὑπὸ τῇ σποδιᾷ ἀφανιζόμενον, καὶ ἄλλα δὲ πολλὰ σημεῖα γίνεται ἐπὶ τῆς χειμερινῆς καταστάσεως. ἄλλως. ἡ ἀράχνη λεπτή ἐστι καὶ ἰσχνή, καὶ ἐν μετεώρῳ ἐστί· καὶ ἔτι ἡμῖν ἀνεπαισθήτου ὄντος τοῦ πνεύματος αὕτη καὶ ἐκ βραχείας κινήσεως φέρεται καὶ κινεῖται. ὁ δὲ λόγος, ἐν νηνεμίᾳ δέ, ὅτε ἡ ἀράχνη κινεῖται, μὴ καταφρόνει τοῦ σημείου· εἰ γὰρ καὶ αὐτίκα νηνεμία ἐστίν, ἀλλ᾽ οὖν γε προδηλοῖ τὸν ἐσόμενον χειμῶνα.

1034. λύχνων φλόγες ἠρέμα περιφερόμεναι πῦρ τε μόγις ἀναπτόμενον καὶ τὰ ἐλλύχνια φῶτα χειμῶνος σημεῖον· συμπίπτει γὰρ τὰ ὑποκείμενα ὑπὸ τοῦ ἀέρος.

1035. ἀπὸ κοινοῦ τὸ μηδὲ τότε πίστευε τῷ χειμῶνι, ὅταν πῦρ ἐφάπτηται μετὰ κακοπαθείας καὶ βραδέως, καὶ τὰ ὑπαίθρια λύχνα·

Digitized by Google

δῆλον γὰρ ὅτι πολλοῦ ὄντος τοῦ περιέχοντος ὑγροῦ βράδιον τὸ πῦρ ἐφάπτεται. καὶ τὰ λύχνα. αὔηται οὖν ἀντὶ τοῦ ἐφάπτηται. Πλούταρχος δέ φησι τὰ καυστὰ βραδέως ἐξάπτεσθαι παχυμεροῦς τοὺς πόρους ἐπιφράττοντος ἀέρος· διόπερ οἱ τὰς δᾷδας ἅπτοντες προστρίβουσιν ἐν τῇ τέφρᾳ, ἵνα ἀποκρουσθῇ εἴ τι ἔνικμον ᾖ, καὶ τὸ πῦρ τῆς ὕλης μᾶλλον ἅψηται.

1036. τί σοι καταλέγω ὅσα σημεῖα γίνεται ἐπ' ἀνθρώποις χειμῶνος καὶ εὐδίας; καὶ γὰρ ἐν τῇ πάντων εὐτελεστάτῃ τέφρᾳ περὶ ἐκεῖνον τὸν τόπον ἔνθα ἐστὶ πηγνυμένη, χειμὼν ἔσται. πολλοῦ γὰρ τοῦ περὶ τὸν ἀέρα νοτίσματος τὸ τοιοῦτο σημεῖον. ἡ τέφρα οὖν μὴ διαλυομένη καὶ ὥσπερ πεπηγυῖα σημαντικὴ χειμῶνος. καὶ κέγχροι πολλαὶ ἐπὶ τοῦ λύχνου φωτὸς ἐπανιστάμεναι νιφετὸν σημαίνουσιν. ὅταν δὲ τοῦ διαπύρου ἄνθρακος ἡ μὲν ἐπιφάνεια λαμπρὰ τυγχάνῃ, ἡ δὲ μεσότης μελαίνηται, χάλαζαν ἐσομένην δεῖ σημειοῦσθαι.

1039. καὶ ἐπὶ τῷ λύχνῳ χιόνος γίνωσκε σημεῖον, ἐὰν κέγχροις ἐοικότα σημεῖα πανταχοῦ καὶ κύκλῳ ἔχῃ ἐγγὺς τῆς πυριλαμποῦς μύξης. ἐὰν οὖν καὶ περὶ τὰς μύξας κέγχροις ὅμοια σημεῖα γένηται, καὶ ταῦτα σημεῖον ὑγροῦ χειμῶνος.

1041. ἄνθρακι δὲ ζώοντι: ἤγουν ἠνθρακωμένῳ καὶ καίοντι. ἐὰν οὖν ζῶντος ἄνθρακος (ἤγουν καιομένου) καὶ τῆς ἐπ' αὐτοῦ φλογὸς μεταξὺ ὥσπερ νεφέλη τις γένηται, χαλάζης τὸ τοιοῦτο σημεῖον. λευκὸν δὲ δεῖ φαντάζεσθαι τὸν ἄνθρακα διὰ τὴν πεπηγυῖαν τέφραν. καὶ εἰκότως τὸ τοιοῦτο σημεῖον χειμῶνος· ἡ γὰρ τοῦ ἀέρος ψύξις τοιαύτη ἐστὶν ὡς καὶ μέχρι τοῦ πυρὸς διήκειν.

1044. ἄρχεται λοιπὸν ἀπὸ δένδρων τεκμήρια ἡμῖν διδόναι περὶ χειμώνων καιρῶν, ἐπιτήδεια πρὸς γεωργίαν. δεῖ οὖν λαβεῖν ἀπὸ πρίνου καὶ σχίνου σημεῖα· ὁ γὰρ τῆς πρίνου καρπὸς σύμμετρος ὢν τοιοῦτον χειμῶνα δηλοῖ, ὁ δὲ πλείων τοῦ συνήθους πλείονα αὐχμόν. μεταβὰς οὖν ἐπὶ τὰ τῆς γεωργίας σημεῖα πειρᾶται διδάσκειν ἡμᾶς, καὶ φησὶν ὅτι πρῖνοι καὶ σχῖνοι μετρίαν τὴν καρποφορίαν ὅταν ἔχωσιν, αὐχμηρὸν τὸ τέλος σημαίνουσιν. αἱ μὲν οὖν πρῖνοι μὴ ὑπὲρ τὸ δέον εὐφοροῦντες μακρὸν ἐσόμενον τὸν χειμῶνα σημαίνουσιν, ἐὰν δὲ πολυφορῶσι περὶ τὰ ἔσχατα μέρη τοῦ θέρους, βλάβην τοῦ σιτικοῦ καρποῦ γενησομένην ὑπὸ αὐχμοῦ. ἡ δὲ τοῦ σχίνου καρποφορία τρισσὴ τυγχάνει· τρὶς γὰρ τοῦ ἐνιαυτοῦ ἀνθεῖ καὶ τρὶς τελεσφορεῖ, καὶ ἑκάστη καρποφορία ἴδιον σημεῖον ποιεῖ· ἐὰν γὰρ ὁ πρῶτος καρπὸς κατὰ πρέπον γένηται, πρώϊμον δεῖ τὸ θέρος προσδοκᾶν· ἐὰν δὲ ὁ δεύτερος, τὸν μέσον καιρὸν τῆς θερείας κρείσσονα σημαίνει, ὁ δὲ τρίτος τὸν ἔσχατον. ἡ δὲ σύνταξις οὕτως· καταχθέες καρποῖο, τουτέστι βαρυνόμεναι τῷ καρπῷ, οὐκ ἀπείρητοί εἰσι χειμῶνος. ὅσα γὰρ τὴν σχῖνον ἐκ τοῦ ἀέρος ὠφελεῖ, ταῦτά καὶ τὸν σῖτον· ὁμοίως καὶ τὰ βλάπτοντα. δείγματα οὖν τῶν πρώτων σπόρων ὁ

πρῶτος ἐν τῇ σχίνῳ ἐστὶ καὶ τῶν μέσων ὁ μέσος καὶ ὁ τρίτος τῶν τελευταίων. οὕτω Πλούταρχος.

1045. ὁ σπουδαῖος γεωργὸς καὶ ὁ ἀροτριεὺς ἀφορᾷ ἐπὶ τὰ σημεῖα τῆς γεωργίας. τὸ δὲ ἔ ῤ ῥ ῃ (1046) ἀντὶ τοῦ ῥεύσῃ, φθαρῇ. ὁ δὲ σῖτος ὅταν ἀρχὴν ἔχῃ τοῦ ἀναφύεσθαι, οὔτε ὑπερβολὴν χειμῶνος δύναται βαστάζειν οὔτε αὐχμοῦ συμπεσόντος (ἐν ἔαρι γὰρ φυόμενος τούτου δοκεῖ ἀπαλλάττεσθαι), ἀλλ' ἐπειδὰν ἐμπέσῃ, ἀπόλλυται. φησὶν οὖν ὅτι καὶ πρῖνοι αἱ μεσταὶ καρποῦ οὖσαι καὶ μέλαιναι σχῖνοι οὐκ ἀπείρητοί εἰσι χειμῶνος. δυνατὸν οὖν ἐκ τῆς τῶν καρπῶν αὐτῶν ἀναφύσεως συμβάλλειν καὶ χειμῶνος καιρούς. λέγει οὖν, ὁ μὲν τῆς πρίνου καρπὸς σύμμετρος ὢν χειμῶνα δηλοῖ, ὁ δὲ πλείων τοῦ συνήθους αὐχμόν.

1047. ἡ πρῖνος τὸ δένδρον τῶν πάνυ καταξήρων ἐστί. καὶ μαρτυρεῖ καὶ Ἀριστοφάνης λέγων "σὺ δ' ὥσπερ πρῖνος εὐθὺς ἐμπρησθεὶς βοᾷς·" τῶν ξύλων γὰρ τὰ κατάξηρα ἐμπρησθέντα καὶ καυθέντα τῇ ξηρότητι ἀντέχει τῷ πυρί. αὕτη τοίνυν ἡ πρῖνος ξηρά τις οὖσα τὴν φύσιν τοῖς ὑγραίνουσι τέρπεται, καὶ χειμῶνος ὄντος, σφόδρα ὑγροῦ τοῦ περιέχοντος γενομένου, τῇ ὑγρότητι ἡσθεῖσα καρποφορεῖ, καὶ δηλοῖ τὸν ἐσόμενον μέγαν χειμῶνα, ὑφ' οὗ τῆς ὑγρασίας μεταλαβοῦσα ἐκαρποφόρησεν. θ α μ ι ν ῆ ς δὲ τῆς συνεχῶς φυομένης· τρίτον γὰρ τοῦ χειμῶνος φύεται. ὁ δὲ ἄκυλος ὁ καρπός ἐστι τῆς πρίνου· καὶ Ὅμηρος "παρὰ δ' ἄκυλον βάλανόν τε." κ α τ ὰ μ έ τ ρ ο ν δὲ ἔχουσαι ἀντὶ τοῦ συμμέτρως ἔχουσαι τῶν καρπῶν. φησὶν οὖν καὶ Θεόφραστος ὅτι ἡ πρῖνος καὶ ἡ σχῖνος αὐχμηραὶ τῇ κράσει καὶ ξηρότεραι τῶν ἄλλων πεφύκασι. πολὺν οὖν καρπὸν οὐ φέρει, ἐὰν μὴ εἰς βάθος ὑγρανθῇ. εἰκότως οὖν τῇ τούτων ἀφορίᾳ καταμαντεύονται περὶ τῶν σπερμάτων οἱ γεωργοί, μιᾶς αἰτίας οὔσης δι' ἧς ἀμφοτέρων ἡ πολυκαρπία ἐπέρχεται. εἰ δὲ ὑπερβάλλει τοῦ καρποῦ τὸ πλῆθος, οὐκ ἀγαθὸν σημεῖον· ἄμετρον γὰρ ἐπομβρίαν καὶ πλεονασμὸν ὑγρότητος ἡ περὶ τὸν ἀέρα ἄνεσις καὶ θηλύτης δηλοῖ. οὕτω καὶ Πλούταρχος.

1049. μηδὲ λίαν κορεστικῶς καὶ ἐξόχως βαρυνθεῖεν τῷ καρπῷ παντελῶς, ἤγουν μὴ λίαν ἔχοιεν καρπὸν ἀλλὰ σύμμετρον· τότε γὰρ ἐκ τοῦ αὐχμοῦ αἱ ἄρουραι θάλλουσιν. τὰ οὖν τ η λ ο τ έ ρ ω (1050) ἀντὶ τοῦ πορρωτέρω οὖσαι αἱ ἄρουραι τοῦ αὐχμοῦ πληθύνουσι τοῖς ἀστάχυσιν.

1051. τρίτον φησὶ φέρειν τὴν σχῖνον καρπόν, ἕκαστον δὲ τούτων σημεῖον εἶναι σπόρου· καὶ γάρ φησι τοὺς σπόρους τρεῖς εἶναι, πρῶτον, δεύτερον, ὕστατον. ὃν ἂν οὖν καρπὸν εὐφορήσῃ μάλιστα ἡ σχῖνος, κατὰ λόγον καὶ τὸν σπόρον ἐκεῖνον γίνεσθαι ἄριστον. τὸ δὲ λ ο χ α ί η σ χ ῖ ν ο ς (1057) βαθεῖα καὶ ὑψηλή, ἀπὸ τοῦ λοχῆσαι δύνασθαι καὶ ἐνεδρεῦσαι ἐν αὐτῇ κρυπτόμενον· οὕτως Ἀπολλινάριος. τὸ δὲ ἄ ρ η τ α ι ἀντὶ τοῦ ἐνέγκῃ. ἐν ἐκείνῳ δὲ τῷ καρπῷ καὶ ἡ ἄροσις πολὺ κρείττων ἔσται. οὐ γὰρ μόνον ἐν τοῖς ζῴοις συμπάθεια γίνεται, ἀλλὰ καὶ ἐν τοῖς φυτοῖς.

Digitized by Google

ὅταν ὢν κεκραμένην τῇ ὑγρότητι καὶ ψυχρότητι παραπλησίως ἔχῃ τὴν ἕξιν, καὶ τρέφεται ἀπὸ τῶν ὁμοίων καὶ τοῖς αὐτοῖς εὐθαλεῖ καὶ μαραίνεται. διὸ πολλὰ μετ' ἀλλήλων συνακμάζει καὶ καρποφορεῖ, τὰ μὲν θέρει, τὰ δὲ χειμῶνι, τὰ δὲ καὶ ἔαρι. τῶν μὲν ὢν αἱ κράσεις διάφοροι, τῶν δὲ ὅμοιαι καὶ συγγενεῖς σφόδρα. τῶν ὢν μίαν κρᾶσιν ἐχόντων εἰσὶ πρῖνος σχῖνος σκίλλα πυρὸς κατὰ Πλύταρχον.

1060. ἀνθέρικον νῦν εἴρηκε τὸ ἄνθος τῆς σκίλλης· κυρίως γὰρ τὸ ἄκρον τῶν ἀσταχύων. ἀκολούθως δέ φησι καὶ τὸ τῆς σκίλλης ἄνθος τεκμαίρεσθαι περὶ τῶν ἐσομένων καρπῶν· τὸ μὲν γὰρ πρῶτον ἄνθος περὶ τῦ πρώτου σπόρου διδάσκει ἡμᾶς, τὸ δὲ δεύτερον περὶ τοῦ δευτέρου, καὶ τὸ τρίτον περὶ τοῦ τρίτου.

1064. ὅταν ἐν φθινοπωρινῇ τῦ ἔτυς ὥρᾳ σφῆκες κατὰ πλῆθος συνηθροισμένοι ἐν πολλοῖς τόποις βλέπωνται, καὶ πρὸ τῆς ἑσπερίυ τῶν Πλειάδων ἀνατολῆς δεῖ προσδοκᾶν χειμῶνα. προείρηται δὲ ὅτι ἡ ἑσπέριος Πλειάδων ἀνατολὴ χειμῶνα ἐπιφέρει. τὸ ὢν ἑσπερίων προπάροιθεν (1065) ἤγουν τῶν ἀπὸ ἑσπέρας ἀνατελλυσῶν· ἑῷαι γὰρ ἀνατέλλυσι θέρει. τότε ὢν εἰ καὶ πρὸ τῶν ἑσπερίων Πλειάδων οἱ σφῆκες βλέπονται συνηθροισμένοι, εἴποι τις ἂν ἔσεσθαι χειμῶνα. γίνονται δὲ οἱ σφῆκες ἐκ γῆς· εὐφυὴς γὰρ πρὸς τὸ γεννᾶν τὰ τοιαῦτα ἡ γῆ, ὅταν ἰκμαδώδης ᾖ.

1068. ἡ ὑγρότης γόνιμον καὶ κινητικὸν τῆς σπερματικῆς δυνάμεως· διαχυθὲν γὰρ τὸ σῶμα καὶ τὸ πνεῦμα τῇ ἀνέσει ἀραιὸν (εὗρον M) γίνεται καὶ ὑπόθερμον εἰς ὁρμὰς ἀγωγὸς ἐπὶ τὸ τῆς γενέσεως ἔργον. διὸ καὶ οἱ παλαιοὶ τὸν Διόνυσον τῇ Δημήτρᾳ συγκαθιέρωσαν, αἰνιττόμενοι τὸ γόνιμον τῆς ὑγρότητος. ὥσπερ ὢν τὰ φυτὰ ἐξασθενήσαντα διανθεῖ τῇ εὐκρασίᾳ ἐπελθύσης τῆς ὑγρᾶς καὶ ἐπιῤῥεύσης τροφῆς, ὕτω καὶ τὰ ζῷα ἐν ὑγρῷ τῷ ἀέρι καὶ μαλακῷ μάλιςα πρὸς συνυσίαν κινεῖται. ὕτως Ἀπολλινάριος. ἄλλως. σύες θήλειαι καὶ πρόβατα καὶ αἶγες, ὅταν ὑπομείναντα τὴν τῶν ἀῤῥένων ὄχευσιν ἐπιςρέψαντα ἐπιβαίνῃ τοῖς ἄῤῥεσι, μέγαν χειμῶνα καὶ ὐκ ἐλάσσονα τῦ ἀπὸ τῶν σφηκῶν σημαίνυσιν. ὅταν δὲ μὴ προλαμβάνῃ τὰ προειρημένα τὴν μῖξιν ἀλλὰ βράδιον τῦ εἰθισμένυ ὀχεύῃ, εὐθυμίαν τοῖς πένησι παρέχονται, ὅτι μὴ ἔχοντες εὐπορεῖν ἐσθημάτων προσδοκῶσιν εὐδιεινότερον ἔσεσθαι τὸν χειμῶνα. ἢ ταῦτα τὰ ζῷα ἐπιθυμητικῶς ἔχυσι συνυσίας ἐν χειμῶνι, ἐπειδὴ ἔξωθεν τότε τῦ ὑγρῦ ὄντος τὸ θερμὸν ἔνδοθέν ἐςι καὶ φλέγον αὐτὰ ἐγείρει πρὸς συνυσίαν. διὸ καὶ ἑξῆς φησὶν ὅτι ἐὰν βραδέως καὶ μὴ συνεχῶς συνυσιάζωσι, δηλῦσιν ὐ ψυχρὸν τὸν χειμῶνα ἀλλ' εὔκρατον· ὅθεν καὶ τὸν πένητα χαίρειν ποιῦσιν. ἢ ἐν τοῖς αὐχμηροῖς καὶ ἀνόμβροις ἔτεσι τὰ ζῷα πρὸς συνυσίαν ὐ πρόθυμα· διὰ γὰρ τὴν τῶν σωμάτων ὑγρότητα ὀλίγην ὖσαν βραδύτερον τῦτο δρᾷ. διό φησιν, ὀψὲ δρῶντα τὴν συνυσίαν εὐθυμίαν παρέχυσι τοῖς γεωργοῖς· ἡ γὰρ πλείων ἐπιθυμία ἐξ

ὑγρότητος πλεοναζούσης γίνεται. χαίρει οὖν ὁ ἄνολβος ἀνήρ, ἤγουν ὁ πένης καὶ ἀνείμων, ὅτι οἱ πάνυ αὐτῷ θερμαινομένῳ ὑπὸ ἀμφίων εὔδιον τὸν ἐνιαυτὸν γενήσεσθαι ὑποφαίνουσι. τὸ δὲ βιβαιόμεναι (1074) ἀντὶ τοῦ βιαζόμεναι πρὸς συνουσίαν.

1075. καὶ ὅταν αἱ τῶν γεράνων ἀγέλαι ἐπὶ τοῖς εἰθισμένοις τόποις μετάβασιν προλαμβάνωσιν, ὁ ἐπιθυμῶν γεωργὸς ἐν τάχει τοὺς καρποὺς ἀμῆσαι γέγηθεν· ὅταν δὲ βραδύτερον διαίρωνται, ὁ βουλόμενος βραδύτερον ἀμῆσαι τὴν θερείαν γεωργὸς γέγηθεν. ἀκόλουθος γὰρ ὁ χειμὼν γίνεται τῷ τῶν γεράνων διάρματι. ὅταν μὲν γὰρ προλαμβάνωσι τὴν μετάβασιν καὶ κατὰ μείζονα συστήματα ποιῶσι τὴν πτῆσιν, πρώϊμον δηλοῦσι τὸ ἔτος· ὅταν δὲ τοῖς αὐτοῖς τόποις ἐμβραδύνωσι καὶ ἀναχωροῦσαι βραδεῖαν τὴν πτῆσιν ποιῶνται καὶ μὴ συνηθροισμέναι φέρωνται, ὀψὲ γενησόμενον τὸν χειμῶνα σημαίνουσι καὶ τὴν παρολκὴν τῶν γεωργιῶν χρησιμωτέραν οὖσαν τοῖς γεωργοῖς.

1076. ταῖς καθ' ὥραν ἐρχομέναις γεράνοις ὁ βουλόμενος καθ' ὥραν τῶν ἔργων ἅπτεσθαι γεωργὸς χαίρει· ὁ βουλόμενος δὲ ὀψίτερον σπείρειν ταῖς ὀψιμωτέραις. ἕπεσθαι γὰρ αὐταῖς τῇ πτήσει πέφυκεν ὁ ὄμβρος· καὶ γὰρ αὗται αἰσθανόμεναι τῆς περὶ τὸν ἀέρα ψύξεως ἐκ τῶν συνήθων ἐπὶ τοὺς ἀήθεις μετέρχονται τόπους.

1078. ταῖς μὲν θᾶττον καὶ κατὰ πλῆθος φαινομέναις θάττων καὶ πλείων ὁ χειμὼν ἐπιφαίνεται· ὅταν δὲ ὀψὲ καὶ μὴ ἀγεληδὸν φαίνωνται ἀλλὰ καὶ κατ' ὀλίγον καὶ ἐκ διαστημάτων, οὐδ' ἅμα πολλαί (1080), ἀναβολὴ χειμῶνος ὠφελεῖ τὰς ὑστέρας σποράς.

1082. εἰ δὲ οἱ βόες καὶ τὰ μῆλα ἤγουν τὰ πρόβατα ἐν τῇ παρακμῇ τοῦ φθινοπώρου τὴν γῆν τοῖς ποσὶν ὀρύσσουσι, τὰς δὲ κεφαλὰς πρὸς βορέαν ἀνατείνουσι, χειμὼν γενήσεται μέγας κατὰ τὴν τῶν Πλειάδων δύσιν. ἐὰν δὲ μᾶλλον ὀρύττωσι, μείζονα δεῖ τὸν χειμῶνα προσδέχεσθαι καὶ ἀσύμφορον φυτοῖς τε καὶ τῷ σιτικῷ καρπῷ· πολλὴν γὰρ ἐσομένην χιόνα σημαίνει, ὥστε συμβήσεται τὸν ἐν ταῖς χώραις πυρὸν τρυφερὸν ὄντα καὶ μηδέπω ἐπὶ τοσοῦτον ηὐξηκότα ὥστε μὴ μαραίνεσθαι ξηρανθῆναι ὑπὸ τῆς ψυχρότητος· εἰ γὰρ ἐτύγχανεν ἰσχυρός, ὁ γεωργὸς οὐκ ἂν ἐδεδοίκει τὴν ἐκ τῆς χιόνος βλάβην. ἡ δὲ ὑπὸ τῶν ζῴων ὀρυσσομένη γῆ χειμῶνα δηλοῖ, ἐπειδὴ μαντεύονται δεῖσθαι ψύξεως διὰ πλῆθος θερμότητος, ἥτις διὰ τὴν ἔξωθεν πυκνότητα ἐγκλείεται τοῖς ζῴοις. εἰ δὲ πλέον ὀρύττει τὴν γῆν τὰ ζῷα, ὁ χειμὼν βλαβερώτερος καὶ φυτοῖς καὶ ἀρότροις. εὔχου δὲ πλείονα χιόνα γίνεσθαι· σημεῖον γὰρ καρποῦ, ἐπειδὴ ῥιζοῦται τὰ σπέρματα μᾶλλον ἐπεχόμενα τῆς ἐπὶ τὰ ἄνω αὐξήσεως.

1085. εἴπομεν ἀνωτέρω ὅτι καὶ φθινοπωριναὶ ἀνατέλλουσιν αἱ Πλειάδες· αὗται οὖν κατερχόμεναι χειμῶνα φέρουσιν. ἐὰν οὖν εἰς τὸν καιρόν, ὅτε δύνουσιν αἱ Πλειάδες, αἱ αἶγες καὶ τὰ μῆλα κερατίζωσι τὴν γῆν, χειμὼν γενήσεται μέγας.

Digitized by Google

1088. ἀλλὰ χιὼν ἔσω πολλή, φησίν, ἐν ταῖς μεγάλαις ἀρούραις περὶ τὴν μήπω κριθεῖσαν καὶ οἱονεὶ διάκρισιν καὶ ἰσχὺν λαβοῦσαν πόαν, οὐδὲ τὴν βαθεῖαν ἀλλ' ἐπιπόλαιον οὖσαν. ἤγουν ἐὰν ἡ χιὼν πίπτῃ, γενέσθω μὴ ἤδη εἰς πολὺ τῆς πόας ηὐξημένης, ἵνα μὴ κλᾶται αὕτη, ἀλλ' ἔτι ἁπαλῆς. ἡ γὰρ χιὼν τηκομένη κατ' ὀλίγον καὶ ποτίζουσα τὴν γῆν τρόφιμός ἐστι τοῖς ἐσπαρμένοις.

1090. τῇ εὐετηρίᾳ τοῦτο ἀκολουθεῖ, τὸ χαίρειν τὸν γεωργόν. ὁ δὲ νοῦς, ὅπως τις εὐθέως προσδεχόμενος χαίρῃ, μὴ οὖν ὀρωρύχοιεν λίαν οἱ βόες· οὐ γὰρ κατὰ κόσμον ἀλλὰ χαλεπὸν καὶ τεταραγμένον τὸν ἀέρα μηνύουσι. καὶ χιὼν ἂν εἴη πολὺς ἐν ταῖς ἀρούραις ἐπὶ τῇ μήπω κεκριμένῃ καὶ ἰσχυρᾷ πόᾳ τῶν ἀσταχύων, πρὸς τὸ χιόνα δύνασθαι φέρειν καὶ τοιοῦτο ψῦχος ἀναδέξασθαι.

1091. τότε οὖν κατ' ἐκεῖνον τὸν καιρὸν ἔσωσαν οἱ ἀστέρες τὸ κατὰ φύσιν σώζοντες κατάστημα καθαρὸν καὶ ἀνεπιθόλωτον, μηδὲ οἱ καλούμενοι κομῆται θεωρηθείησαν, ἢ εἷς ἢ δύο ἢ καὶ τρεῖς· φανέντες γὰρ οὗτοι αὐχμηρὸν τὸ ἔαρ σημαίνουσιν ὑπερβάλλοντος τοῦ θερμοῦ τὸ ψυχρόν.

τοὺς κομήτας οἱ Πυθαγορικοὶ τοῖς πλανωμένοις συγκατηρίθμουν, κατὰ μακρὰς ἀνακυκλήσεις χρόνων ἄλλοτε ἄλλῃ προφαινομένους, ἕνα τοῦτον ὑποτιθέμενοι κατὰ τὰ βόρεια, ἐκτὸς τοῦ ζῳδιακοῦ καὶ τῶν φαινομένων. οἷς αὐτὸ τοῦτο ἀντιπίπτει· τοῖς γὰρ πλανήταις ὡρισμένος τόπος ἐστὶν ὁ ζῳδιακὸς κύκλος, οὗτος δὲ οὐκ ἂν εἴη τῶν πλανήτων ἐκτὸς τούτου τοῦ τόπου φαινόμενος. καὶ ἅμα εἴπερ εἷς τῶν πλανήτων ἦν, πάντως ἂν καὶ τὰς τούτου περιόδους οἱ περὶ τὰ μαθήματα δεινοὶ παρετήρησαν ὡς καὶ τῶν πλανήτων. ἀλλ' οὐδὲ εἷς ἐστίν, ἀλλὰ πλείονες καὶ οὐχ ἑνὶ τόπῳ ὁρώμενοι. τοὺς μὲν οὖν ἄνω τῶν ἀστέρων ἔχοντας τὴν κόμην κομήτας ἐκάλεσαν, τοὺς δὲ κάτω πωγωνίας, ξιφηφόρους δὲ τοὺς κάτωθεν. Δημόκριτος δὲ καὶ Ἀναξαγόρας κατὰ σύλληψιν δύο πλανωμένων, ἡνίκα πλησίον ἀλλήλων γένωνται, καθάπερ ἐσόπτρων ἀντιλαμπόντων ἀλλήλοις τοὺς κομήτας συνίστασθαι λέγουσι. καὶ οὗτοι δὲ πλανώμενοι τοῦτο λέγουσιν· οὔτε γὰρ ἐν τῷ ζῳδιακῷ μόνῳ φαίνονται ἀλλὰ καὶ ἐν τοῖς βορείοις καὶ τοῖς νοτίοις, τρεῖς τε ἐν τῷ αὐτῷ πολλάκις ὁρῶνται κομῆται· πέντε δὲ ὄντων πλανήτων τρεῖς ὁρᾶσθαι κομήτας ἀδύνατον. καὶ τῶν ἀπλανῶν δέ τινες ὁρῶνται κόμας ἔχοντες· ἐπὶ γοῦν τῷ ἰσχίῳ τοῦ Κυνὸς Ἀριστοτέλης φησὶ τετηρηκέναι κομήτην, καὶ τοῦτο προσιστορῶν, ὅτι χωρὶς δύσεως οἱ κομῆται κατὰ μικρὸν ἀπομαρανθέντες ἀφανίζονται. πολλάκις τε ἐγγὺς ἀλλήλων ἐγένοντο κομῆται καὶ πλανῆται, ὡς ἔστι σκοπεῖν. ὁ δὲ Ποσειδώνιος ἀρχὴν γενέσεως ἴσχειν φησὶ τοὺς κομήτας, ὅταν αι τοῦ ἀέρος παχυμερέστερον ἐκθλιβὲν εἰς τὸν ἀέρα τῇ τοῦ ἀέρος δίνῃ ἐνδεθῇ, εἶτα πρὸς πλείονα δῖνον ἐπιῤῥεούσης τῆς συστροφῆς φέρωνται· διὸ συμβαίνει αὐτοὺς καὶ μείζονας αὐτῶν ὁρᾶσθαι καὶ ἥττονας, ὡς ἂν ποτὲ μὲν ἐπιδιδούσης τῆς συστροφῆς αὔξεσθαι, ποτὲ δὲ λειπούσης συστέλλεσθαι. ταύτῃ

Digitized by Google

γοῦν καὶ εἰς τὸν ἀρκτικὸν οὗ συνίςανται μάλιςα τόπον, ἀλλ' ἔνθα πεπιλημένος καὶ παχυμερής ἐςιν ὁ ἀήρ. κατὰ δὲ τὰς φαύσεις αὐτῶν καὶ πάλιν διαλύσεις τροπὰς συμβαίνει γίνεσθαι τοῦ ἀέρος, αὐχμοὺς τε καὶ ἐκ τῶν ἐναντίων ῥαγδαίους ὄμβρους κατὰ διάλυσιν γίνεσθαι αὐτῶν, ἅτε δὴ ἐν ἀέρι τῆς συςάσεως αὐτῶν γινομένης. ὅπερ καὶ ὁ Ἄρατος λέγει, αὐχμῶν αὐτοὺς σύμβολα παραδιδοὺς ὑπάρχοντας. Ἱπποκράτης μέντοι ὁ Πυθαγορικὸς ἕνα λέγει τὸν κομήτην· καὶ οἱ μὲν λοιποὶ ἰδίας αὐτῶν τὰς κόμας ἀποφαίνονται, ὁ δὲ κατὰ ἀνάκλασιν τὴν ὡς ἐπὶ τὸν ἥλιον ἀπὸ τῶν ὄψεων, διὰ τὴν τῶν ὑγρῶν ἀναθυμίασιν, εἰς αὐτὸν ὁλκῆς φαίνεσθαι. Σπόρος δέ φησιν ὅτι ἡ ξηρὰ ἀναθυμίασις ξηρᾶς τῆς γῆς καὶ αὐχμηρᾶς τυγχανούσης ἀναδιδομένη ποιεῖται κομήτας ἀςέρας καλουμένους· ὑπὸ γὰρ τῆς ἰδίας θερμότητος ἐξαπτομένη ῥᾳδίως ἐκ τῶν ὑποκειμένων οἷον ἀςέρας ἢ ἀκτῖνας ἀναπέμπει πρὸς τὸ ἄνω. τὸ γὰρ πῦρ ἄνω πέφυκε φέρεσθαι, τὰς δὲ ἀκτῖνας τοῦ παντὸς ἀςέρος κόμας εἶναι νομίζουσιν.

1094. ὅταν πολλαὶ ὀρνίθων ἀγέλαι ἀπὸ τῶν νήσων ἔρχωνται ἐπὶ τὴν χέρσον, οἱ γεωργοὶ περὶ τοῦ θέρους ἀγωνιῶσιν, αὐχμηρὸν τεκμαιρόμενοι γενήσεσθαι. οἱ δὲ βουκόλοι γεγήθασι μάλιςα, ὅταν μὴ κατὰ πλῆθος συνηθροισμέναι γένωνται ἐπὶ τὴν γῆν, ἀλλὰ τεταγμένως ἱπτάμεναι ὦσι· πολυγάλακτον γὰρ προσδοκῶσι τὸν ἐνιαυτόν. εἶτα ἐπιφέρει οἰκτόν τινα τῆς τῶν ἀνθρώπων ἀσθενείας, καὶ φησὶν ὅτι τούτῳ τῷ τρόπῳ ζῶμεν οἱ ἄνθρωποι, καὶ κακοπαθοῦντες καὶ μηδὲν βέβαιον ἔχοντες ἐν τῷ βίῳ, ἀλλὰ μόνα τὰ περὶ τὸν κόσμον σημεῖα ἃ μὲν κατειληφότες ἐκ διηνεκοῦς ἐμπειρίας, ἃ δὲ καὶ προσδοκῶντες διὰ τῆς μελλούσης παρατηρήσεως γνώσεσθαι. περὶ δὲ τῶν ὀρνίθων Ἀριςοτέλης φησίν, ὅταν μὲν ψυχρὸς καὶ ὑγρὸς ᾖ ὁ ἀήρ, τὸ τηνικαῦτα καὶ αἱ νῆσοι βρεχόμεναι ἀναφύουσι καὶ τὰ ἐν αὐταῖς ὄρνεα ἀνατρέφουσιν· ὅταν δὲ αὐχμώδης ᾖ καὶ ξηρός, τότε παντελῶς τῶν νήσων μὴ ἀναφυουσῶν ἐπὶ τὴν γῆν τὰ ἐν ταῖς νήσοις ὄρνεα φεύγουσιν, εἰς ἣν δύνανται κἂν ἐξ ὀλίγου τρέφεσθαι. καὶ οἱ κολοιοὶ δὲ ἐκ τῶν νήσων πετόμενοι τοῖς γεωργοῖς σημεῖον αὐχμοῦ καὶ ἀφορίας εἰσίν· ἐὰν δὲ ἔμμετροι χωρῶσιν, εὐκαρπίαν δηλοῦσι. τὸ δὲ αὐχμῷ ἀνιηθεὶς (1098) ἤγουν βλαβεὶς ὑπὸ τοῦ αὐχμοῦ. ξηρότεραι γὰρ αἱ νῆσοι τῶν ἠπείρων τυγχάνουσαι, ὥς φησι Πλούταρχος, θᾶττον καὶ ῥᾷον τοῦ αὐχμηροῦ καταςήματος ἀντιλαμβάνονται· διὸ καὶ τὰ ὄρνεα φεύγει καὶ ταῖς ἠπείροις προσπελάζει. καὶ ὄχθεται μὲν ὁ γεωργὸς τῇ τῶν ὀρνίθων ἐπιδημίᾳ, τὸν αὐχμὸν ὑποπτεύων, χαίρει δὲ ταῖς αὐταῖς ὄρνισιν ὁ αἰπόλος, ὅταν ἐν κόσμῳ καὶ τεταγμένως φέρωνται, ὡς πλείονος γάλακτος γενησομένου διὰ τὸ ἔνθερμον εἶναι τὸν ἀέρα.

1101. μογεροί: ἤγουν καματηροὶ καὶ πλανώμενοι ἐν πολλοῖς πράγμασιν, ἄλλος ἐξ ἄλλων ἔργων καὶ ἐλπίδων ζῶντες, ὁ μὲν γεωργὸς ἀπὸ σπερμάτων, ὁ δὲ αἰπόλος ἀπὸ τῶν αἰπολίων, οἱ δὲ ναῦται ἀπὸ θαλάσσης. καὶ τὰ πὰρ ποσὶ σημεῖα (1102), τουτέςι τὰ πλησίον,

γινώσκειν πάντες ἕτοιμοι ἐξ ὧν μεταχειρίζονται, καὶ τὰ ἐκ τῆς σημειώσεως ἤγουν ἅπαντα ἀποβάντα δυνατοὶ εἰς πρόγνωσιν ἀγαγεῖν ὕστερον. εἶτα ἐπέξεισι τὰ ἑκάστου.

1104. οἱ ποιμένες, φησὶν, ὅταν θεάσωνται τοὺς ἄρνας μετά τινος ἐπείξεως ἐπὶ τὴν νομὴν ἐρχομένους, χειμῶνα τεκμαίρονται.

1106. ὡσαύτως δὲ, ὅταν κριοὺς ἢ ἀμνοὺς ἐν ταῖς τριόδοις ἴδωσι τοῖς κέρασι διερειδομένους, τινὰς δὲ τοῖς ποσὶν ἁλλομένους, τοὺς μὲν ἄρνας τοῖς τέτρασι τοὺς δὲ τελείους τοῖς ἐμπροσθίοις, καὶ ὁμοίους γινομένους ὀρχουμένοις, χειμῶνος ἡγοῦνται σημεῖον. τὸ μὲν οὖν τοῖς κέρασιν ἐρείδεσθαι πάσχουσι τῆς περὶ τὸν ἀέρα αἰσθανόμενοι ψύξεως· ψυχραινόμενα γὰρ αὐτῶν τὰ κέρατα κνησμώδη γίνεται. τὸ δὲ ἀναπλήττειν τοῖς ποσὶν, ὁπόταν κατὰ τὴν ἀγέλην ὦσι, τοὺς μὲν τοῖς τέτρασιν ἁλλομένους ποσὶ τοὺς κουφοτέρους, τοὺς δὲ τελείους τοῖς δυσὶν ἅτε βαρυτέρους, χειμῶνός ἐστι σημεῖον· ταράττονται γὰρ τοῦ μέλλοντος καταῤῥήξειν ὄμβρου αἰσθανόμενοι. ἡ μὲν οὖν μάχη ὑγρότητα τοῦ ἐγκεφάλου δηλοῖ, ἡ δὲ ἐπὶ τὴν νομὴν ἄφιξις ὅτι πλεῖον τὸ θερμὸν διὰ τὴν ἀντιπερίστασιν ἀθροίζεται εἰς βάθη χωροῦν.

1110. καὶ ὅταν ἐκ τῆς ἀγέλης ἄκοντες ἐπὶ τὸν σταθμὸν ἐπείγωνται, εἰωθότες δείλης ὑπὸ τοῦ ποιμένος ἐλαύνεσθαι, αὐτοὶ δὲ πλησίον ὄντες τῶν ποιμένων ἀπληστότερον πανταχόθεν τὴν νομὴν προσφέρωνται, καίπερ ὑπὸ τῶν ποιμένων τυπτόμενοι τοῖς λίθοις, πάντα τὰ τοιαῦτα σημεῖα χειμῶνος.

1111. δείελον εἰσελάοντες: ἤγουν κατὰ τὴν δείλην ἐλαύνοντες αὐτούς. ἀκούσια δὲ εἰσέρχονται, ἐπειδὴ αἰσθανόμενα τῆς τοῦ ἀέρος ταραχῆς ἐμφορεῖσθαι βούλονται τροφῆς. ὅταν οὖν οἱ νομεῖς ἴδωσι τοὺς ἄρνας ἐπὶ τὰς νομὰς προθυμότερον ὁρμῶντας, χειμῶνα σημειοῦνται τῷ βούλεσθαι δεδοικότα τὰ θρέμματα, μήποτε συγκλεισθέντα κωλυθῇ, ἀπολαύειν τροφῆς.

1113. καὶ ἀπὸ τῶν βοῶν σημειοῦνται οἱ γεωργοὶ γενησόμενον χειμῶνα, ὅταν τὰς χηλὰς τῶν ἐμπροσθίων ποδῶν τῇ γλώσσῃ περιλείχωσιν ἢ κατὰ τὸν δεξιὸν μηρὸν ἀνακλίνωνται. ἐπειδὴ γὰρ ἐν τῇ ἀρχῇ τοῦ χειμῶνος ψυχρὰ ἡ γῆ γίνεται, ὁ βοῦς ψυχομένην τὴν χηλὴν τὴν ἐμπροσθίαν τῇ περιλιχμήσει πειρᾶται θερμαίνειν· τοῦ γὰρ ὀπισθίου ποδὸς οὐ δύναται τῇ γλώσσῃ ἐφικέσθαι. φησὶν οὖν τοῦτο ἀρχὴν χειμῶνος.

1116. ἐπὶ δεξιτεράς: τὸ γὰρ φυσικὸν σχῆμά ἐστιν αὐτῶν τὰ εὐώνυμα. προθερμαίνουσι δὲ αὐτῶν οἱ βόες τὸ ἧπαρ, ἐν τοῖς δεξιοῖς τόποις καὶ μέρεσι κείμενον, οὕτω κατακείμενοι. τὸ δὲ ἀμβολίην ἀρότοιο (1117) εἶπεν, ἐπειδὴ οὐκ εὐθὺς ἀροτριῶμεν, εἰ μὴ καὶ βροχὴν ὀλίγην ἴδωμεν. ὁ δὲ βοῦς ἐν ἀρχῇ τοῦ χειμῶνος τοῦτο ποιεῖ τὴν μέλλουσαν ψύξιν προφυλαττόμενος. ἀναβολὴν οὖν ἀρότρου ἀπὸ τούτου ὁ ἔμπειρος ἀροτρεὺς ἐτεκμήρατο.

Digitized by Google

1118. ὁμοίως δὲ καὶ ὅταν μετὰ πλείονος μυκηθμοῦ οἱ βόες ἐπείγωνται ἐπὶ τὸν ςαθμόν, αἱ δὲ δαμάλεις ἐνάλλωνται τοῖς ποσί, καθάπερ ἐπὶ τῶν κριῶν, χειμῶνα σημαίνει. τὸ οὖν περίπλειοι ἀντὶ τοῦ πεπληρωμέναι· σκυθραὶ δὲ ἀκυθρωπαί. τὴν οὖν δείλην σκυθρωπαὶ ἀπὸ τοῦ χειμῶνος καὶ τοῦ βουβοσίου (ἤγουν τοῦ τὴν βόσιν καὶ τροφὴν παρέχοντος τόπου) ἐπὶ τὸν ςαθμὸν παραγενόμεναι, ὡς πολυχείμεροι βουλόμεναι ἐμπλήσασθαι, καὶ διὰ τοῦτο ὀκνηρῶς ἐπὶ τὸν ςαθμὸν ἐρχόμεναι, χειμῶνα προσδέχονται καὶ συγκλεισμόν· διὸ βούλονται ἐμπλησθῆναι.

1122. καὶ αἱ αἶγες δέ, ὅταν μετά τινος ἐπείξεως δρέπωνται τὰς πρίνους καὶ τοὺς κλάδους ἀποσπῶσι, χειμῶνα σημαίνουσι, προσλαμβάνουσαι τὸν ἀπὸ τῆς νομῆς κόρον.

1123. καὶ οἱ σύες δὲ πρὸς τὸν φορυτὸν (ὅ ἐςι βόρβορον) ὅταν ἀπλήςως ἔχωσι, τὰ ὅμοια σημαίνουσι· τὸν γὰρ ἐσόμενον δεδοικότες χειμῶνα καὶ συγκλεισμὸν τοῖς βοσκήμασιν ἐγχρονίζειν βούλονται.

1124. καὶ λύκοι ὁπόταν κατὰ μόνας γενόμενοι ἐπιμηκέςερον ὠρύωνται, καὶ ὅταν σύνεγγυς παραγίνεσθαι τοῖς τῶν γεωργῶν ἔργοις τολμῶσι μὴ καταπλησσόμενοι τοὺς ἀνθρώπους διὰ τὸ χρείαν εἶναι αὐτοῖς σκέπης, χειμῶνα σημαίνουσι μέχρι τρίτης ἡμέρας. καὶ ἐπὶ τῶν προειρημένων δὲ πάντων τὸ αὐτὸ δεῖ παρατηρεῖν, ἀπὸ τῆς ἐνεςώσης ἡμέρας μέχρι τῆς δευτέρας ἢ καὶ τρίτης. λέχος δὲ (1127) οἱ μὲν τὴν κοίτην, οἱ δὲ τὴν ἐνέδραν ἐξέλαβον, ἵνα τι ἁρπάσῃ. τότε οὖν χειμῶνα δεῖ προσδοκᾶν τρίτῃ ἡμέρᾳ· τοῦτο γὰρ ποιεῖ ὑπὲρ τοῦ προλαβεῖν τὴν τοῦ ἀέρος ταραχὴν καὶ (πρὶν ἢ συγκλεισθῆναι τὰ θρέμματα) ἁρπάσαι τι καὶ παρασχεῖν ἑαυτῷ τροφήν. τὸ οὖν τρὶς περιτελλομένης ἠοῦς (1128) ἀντὶ τοῦ τρίτον τῆς ἡμέρας παρελθούσης, ἤγουν μετὰ τρίτην ἡμέραν.

1129. ὁμοίως, φησί, καὶ περὶ τῶν προειρημένων σημείων ἔχε, ὡς ἢ παραχρῆμα τοῦ ἀέρος σημαινομένου ἢ παρὰ δύο ἡμέρας ἢ τρεῖς.

1132. καὶ οἱ μύες φθεγγόμενοι καὶ σκιρτῶντες ὅμοιοί τε γινόμενοι ὀρχουμένοις χειμῶνα σημαίνουσι. καὶ γὰρ καὶ οὗτοι τῆς τοῦ ἀέρος πιλήσεως αἰσθανόμενοι τοῦτο ποιοῦσιν. ἢ ὅτι ἀσθενὲς καὶ λεπτὸν τὸ δέρμα ἔχοντες, ἐπειδὰν ψυχρὰν γενομένην τὴν γῆν πατήσωσι, μὴ φέροντες τὸ κρύος ἅλλονται.

1135. ἀπὸ κοινοῦ τὸ ἄσκεπτοι (1134). καὶ οἱ κύνες οὖν τοῖς ἐμπροσθίοις ποσὶ τὴν γῆν ὀρύττοντες καὶ οἱονεὶ βαθεῖαν ἑαυτοῖς κοίτην εὐτρεπίζοντες χειμῶνα σημαίνουσιν· ἀπὸ γὰρ τῆς τοῦ ἀέρος ὑγρασίας ὥσπερ κατάδυσίν τινα ζητοῦντες τὰ αὐτὰ σημαίνουσιν. ἢ ὅτι φιλόψυχρος ὢν ὁ κύων, καὶ χαίρων ἐπὶ τῷ ἐσομένῳ χειμῶνι, σκάπτει τὴν γῆν παίζων. τινὲς δὲ τὸ ὠρύξατο ὠρέξατο γράφουσιν, ἵν' ᾖ ἀντὶ τοῦ ἐξέτεινεν· ἀρχομένου γὰρ τοῦ σώματος αὐτοῦ ὑπὸ τοῦ ψύχους πυκνοῦσθαι, ὄντος κατὰ φύσιν ψυχροῦ, βουλόμενος τὸ σῶμα διαλύειν ἐκτείνει αὐτό, ὡς ἡμεῖς μετὰ τὸν ὕπνον.

Digitized by Google

1142. τῶν καταριθμηθέντων σημείων μηδὲν καταμεμψάμενος παροδεύσῃς, ἀλλὰ κἂν δύο σοι ἐν τῷ αὐτῷ γένωνται σημεῖα, βεβαιοτέρα σοι ἔςω ἡ πρόγνωσις, μᾶλλον δὲ τῶν δύο, εἰ εἰς ταὐτὸν συνέλθωσι τρία. τὴν γὰρ σημείωσιν εἰ βϐλοίμεθα βεβαίαν καὶ ἀκριβῆ ἔσεσθαι, ἐκ ὀφείλομεν ἐν ἑνὶ σημείῳ πιςεύειν, ἀλλὰ καὶ δευτέρῳ. ἐὰν μέντοι γε καὶ τρίτον προστεθῇ, βεβαιοτέρα γενήσεται ἡ κατάληψις.

1145. χρήσιμον δὲ καὶ τῦτο, τὸ τὰ σημεῖα τῦ παρελθόντος χρόνου συμβάλλειν τοῖς τῦ ἐνεςῶτος, καὶ ἀπὸ τῆς τῶν ἀςέρων ἀνατολῆς τε καὶ δύσεως ςοχάζεσθαι περὶ τοῦ μέλλοντος, εἰ τοῖς προλαβῦσιν ὅμοια γίνεται τὰ σημεῖα.

1146. εἴ που καὶ ἐπ᾽ ἀςέρι: ἤγϰν εἰ τῦ αὐτῦ ἀςέρος ἀνατέλλοντος καὶ δύνοντος τὰ αὐτὰ σημεῖά ἐςιν. ἢ εἰ πρὸς τὸ σημεῖον τοῦ ἀςέρος τοιαύτη καὶ ἡ ἡμέρα φανήσεται, οἷον ἂν ὁ ἀςὴρ χειμῶνα δηλώσῃ, εἰ καὶ ἡ ἡμέρα εὑρεθείη σκοτεινὴ καὶ χειμερινή. ἢ ἐὰν πϰ καὶ ἐπ᾽ ἀςέρι ἀνατέλλοντι ἢ δύνοντι τοιαύτη γένηται ἡ ἡμέρα, οἵαν λέγει καὶ τὸ σημεῖον. ἢ ἐὰν πρὸς τὸ σημεῖον (ἤγουν πρὸς ἃ λέγει τὸ σημεῖον) τοιαῦτα σύμβολα καὶ ἐπὶ ἀςέρι ἀνατέλλοντι ἢ δύνοντι εἶεν. ἢ ἐὰν ἐπὶ τοιϰ́τῳ ἀςέρι προσφόρῳ ἀνατέλλοντι ἢ δύνοντι, ὁποῖον λέγει τὸ σημεῖον, ἡ ἡμέρα ἔλθῃ. ἢ ἐὰν πρὸς τὰ σημεῖα καὶ ἀςὴρ ἀνατέλλων ἢ δύνων σύμβολον ἡμῖν δείξῃ τοιαύτης γενησομένης ἡμέρας.

1148. χρὴ δέ, φησί, πρὸ πάντων τὰς τετράδας τῦ μηνὸς παρατηρεῖν ἀρχομένης τε καὶ ληγϰ́σης τῆς σελήνης· αὗται γὰρ αἱ η' ἡμέραι, δ' ἀρχομένϰ μηνὸς καὶ ζ' καὶ εἰκάδι λήγοντος, ἀκριβεςάτην ἔχϰσι τὴν παρατήρησιν διὰ τὸ τὴν σελήνην ἐνδεῖν ἐν αὐταῖς ὡς πρὸς τὴν πληροσέληνον. ἢ προσήκει τὰς τετράδας τῶν μηνῶν φθινόντων τε καὶ ἱςαμένων προορᾶν· ἐν γὰρ ταύταις καὶ σύνοδοι ἐπέρχονται σελήνης, ὅτε καὶ μάλιςα ὁ ἀὴρ μεταβολὰς ποιεῖ τῇ νυκτὶ διὰ τὸ μὴ καταλάμπειν τὴν σελήνην μηδὲ θερμαίνειν τὸν ἀέρα παχὺν ὄντα. ὁ δὲ νῦς, φυλάσσου τὰς τετράδας τὰς δύο, ἐπεὶ πέρατα τῶν δύο μηνῶν εἰσὶν ὁμῦ συνερχομένων, ὡς οἷον μεθόριον ὑπαρχϰ́σας, ὅτε καὶ ὁ αἰθὴρ σφαλερός ἐςι καὶ ὀμβροφόρος. σφαλερὰ γὰρ τὰ περὶ τὸν ἀέρα ἐν ταῖς η' ταύταις ἡμέραις διὰ τὸ ἀπεῖναι τὴν σελήνην καὶ κατεψῦχθαι ἅπαντα τὸν ἀέρα· ἐνδεεῖς γὰρ τῦ σεληνιακῦ φωτὸς αἱ η' νύκτες εἰσὶ καὶ ἐπισφαλεῖς διὰ τὸ ἄνευ φωτὸς εἶναι καὶ κατεψῦχθαι.

1153. τϰ́των ἀθρόως, ὡς εἴπομεν, συνελθόντων, τῶν τε ἀπὸ τῶν μετεώρων καὶ τῶν περιγείων ζῴων καὶ φυτῶν, ἐκ ἂν σχεδίως τεκμήραιο ἐπὶ ταῖς γινομέναις τῦ περιέχοντος ἡμᾶς ἀέρος μεταβολαῖς, ἀλλ᾽ ἀκριβώσεις τὰ περὶ αὐτόν. ἢ τϰ́των πάντων εἰ ποιήσαιο κατάληψιν καὶ παρατήρησιν ἀκριβῆ, τῶν τε ἀπὸ τῶν μετεώρων καὶ τῶν ἄλλων τῶν προειρημένων, ἐδέποτε πλανηθήσῃ περὶ τὸν ἀέρα ἤγουν περὶ τὴν πρόθεσιν τῦ καταςήματος. τὸ ἐν ἐδέποτε σχεδίως (1154) ἀντὶ τῦ ἐκ ἂν

σχεδιάσας εἰκῇ τι σημειώσαιο, ὅταν ταῦτα μὲν σκοπῇς, μέτρον δὲ τῆς τηρήσεως τῦ ἐνιαυτῦ συνέχῃς. τὸ σχεδίως ὖν ἀντὶ τῦ προσφάτως, ἀσκόπως, παρέργως, προπετῶς καὶ ὡς ἔτυχεν.

Ταῦτά σοι, ὦ Ἰουλιανέ, συναγαγόντες ταχεῖαν πεποιήμεθα τὴν ἀπαγγελίαν. ἄλλοις δὲ μελέτω γραφὰς ἀλλοίας ποιεῖν, καὶ εἰ μὲν Περσέως ὁ Ἄρατος μνησθείη, πάντα τὰ περὶ Περσέως διερευνᾶν, εἰ δὲ περὶ Βοώτε, τὰ περὶ ἐκεῖνον, εἰ δὲ περὶ Ἀργῦς, τὰ περὶ τὺς Ἀργοναύτας. τοῖς γὰρ βυλομένοις τὰ περιμηκέςερα βιβλία καταλιπεῖν καὶ πλείονα καὶ τῦ ἀναγκαίυ ἐκτὸς τοσαίδε ὁδοί· ἡμεῖς δὲ ἐγκαίρυς τὰς ἐξηγήσεις ποιησάμενοι κατελίπομεν τὸ περιττὸν τῆς συντακτικῆς ἐκδόσεως. εἴρηται δὲ πάντα τὰ ἀναγκαῖα καὶ συντελῦντα πρὸς τὸ σαφὲς ἀπεριέργως, καὶ ὡς ἂν ἀνδρὶ διὰ τῶν μαθημάτων φιλοσοφῦντι ἐξηγήσασθαι πρέπον ἦν τὰ ποιήματα. τὰ δὲ λίαν φανερά, ὡς λέγυσιν, ἐξ ἀγωνίας παραλέλειπται. τί γὰρ ἤπειγεν ἄκαιρον ἐνδείκνυσθαι πολυμάθειαν, καὶ καταλέγειν ὅσων καὶ ἡλίκων ἀςέρων ἕκασον ἄςρον, καὶ θέσεις διηγεῖσθαι κύκλων πολλῶν μηδὲν εἰς τὸ ποίημα συντελύντων, καὶ τὰ ὅλα ὅσα γράφυσιν ἀμέτρως, ὐ πολυμάθειαν τὴν αὑτῶν εἰς μέσον τιθέντες, πάντες δὲ φιλόσοφοι θέλοντες εἶναι.

---

p. 49, 32. lege αὐτῦ. 50, 19. σήματα 51, 35. ἐπιῤῥήματος 2, 30. συμπεριφέρονται 56, 24. Ὅμηρος ib. 25. εὐοφθάλμους 57, 36. ἀνατεταμένῃ 65, 21. ἐμβαίνει] immo ἀναβαίνει. 72, 4. ἰχθύων 97, 17. Meinekius nunc ἧμεν — αλα, ἢ φυτὸν ἢ ποίη, ἢ ὅτεω ἐγχρίμψατο λύθρον, ut λύθρον de hydrae veneno intelligatur.

---

v. 962 quod apud Buttmannum legitur φορέει, ipso invito legitur.

# INDEX.

## 1.

αἰθήρ 135 19.
ἀλία ἡ ἐκκλησία 73 25.
ἄλλυδις 51 34.
ἅλως 122 39, 123 17.
ἅμα — ἄμυδις 51 36.
ἀνατολή — ἐπιτολή 63 11.
ἀστερομαρμαρυγαί 81 27.
ἀστήρ — ἄστρον 50 25.
ἀστρόθεσις 108 17.
αὐτίκα i. q. αὖ 750, 840, 903, 1076.
αὐτός i. q. μόνος 79 3.
βουλυτός 104 22.
γαμβρὸς ὁ νυμφίος 72 32.
διάττοντες 135 33.
δίκελλα v. μάκελλα.
εἴδωλον 58 24.
ἑλίκωπες Ἀχαιοί 56 24.
ἑλληνισμός 56 36, 61 33, 72 33, 81 37, 89 7, 98 11.
ἐπιγουνίς 74 19.
ἐτησίαι 65 26.
ἡδονή — ἦδος 51 40.
ἦμαρ — ἡμέρα 51 40.
θήρ leo 56 9.
ἱππότα i. q. ἱππότου 109 31.
ἶρις 136 31.
κέπφος 134 5.
κινάρα 134 37.
κουνίον 75 26.
λυκόφως 116 7.
μάκελλα — δίκελλα 30 2.
μάλκη 77 30.
μεσόδμη 105 39.
μεταπλασμοί 59 22.
νίσσομαι 52 21.
Ὄλυμπος unde dicatur 51 39.
ὁμῶς 51 17.
οὐτάμενοι — οὐτασμένοι 67 19.
Πανικὸς ἦχος 77 7.
παρήλια 129 39.
πλειὼν ὁ ἐνιαυτός 74 9.
πλινθίον geometris πᾶν τετράγωνον 55 7.
πόλος 53 24.
πολὺς πολέα πολύ 51 22.
προευμενίζεται 108 3.
προσεχής 53 33, 124 40.
πρυμνήσια 82 39.
πρῷρα cum ι subscripto 82 29.
σηματά 50 13.
σίφωνες 119 36.
σκόμια 140 31.
συνεληλάμενοι - συνεληλασμένοι 67 17.
σὺνεχές 52 18.
συνεχής — συχνός 52 13.
τρίβος 71 11.
Ὕης 67 8.
χίμετλα 77 31.
χώρα — χῶρος 55 28.
ὠνή — ὦνος 55 28.

## 2.

Achaeus de numero Hyadum 67 6.
Achilles Chironis discipulus 89 14.
Aeetes 70 20.
Aegaeus mons 65 31.
Aegyptii Proserpinae raptum τελεῖσθαι 65 15. zodiacum unde incipiant 99 40. clavibus templorum qualibus utantur 66 18. Aegyptiorum menses
Athyr (November) 75 11 et 17.
Choeach (December) 78 11, 79 12,
Epiphi (Iulius) 65 15, 81 34, 89 33.
Mesori (Augustus) 89 36.
Phamenoth (Martius) 92 29.
Phaophi (October) 89 40, 92 31.
Pharmuthi (Aprilis) 75 8 et 16.
Thoth (September) 89 37, 97 6.
Tybi (Ianuarius) 77 16, 78 12, 87 24.
Aegyptus triquetra 71 29, tempestates

anni ibi distinctae 135 8, ranae vocaliores 137 32. grues e Thracia in Aegyptum migrant 144 28.
aequator 511.
Aesculapius Chironis discipulus 89 14.
aetas aenea 130, argentea 115, aurea 114.
Agenor Beli f. Cephei pater 68 11.
Alcyone Pleias 262.
Alexander Aetolus Arato aequalis 48 5.
Alysis mons 55 27.
Amalthea 66 2 et 21.
Amnis caelestis 358, 83 28 et 40.
Anaxagoras de cometis 151 27.
Anaximenes 136 39.
Anclides 113 30.
Andromeda 197, 68 4, 69 21.
annus magnus 91 37.
Antigonus Demetrii f. Macedoniae rex 48 4 et 12.
apium cellae sexangulae 98 40.
Apollinaris Arati interpres 148 39, 149 28.
Apollo lupum habet sacrum 116 4. a Mercurio lyram accipit 75 32. Pythonem conficit 57 3. Thespiam triplici munere donat 70 16. cf. Corax.
Apollonius Rhodius 142 31.
aqua pluvialis dulcior quam fontana 137 37.
Aquarius 283, 693, 76 39.
Aquila 315.
Ara v. Turibulum.
Arati genus, patria, aetas 48 1—3 et 13. ars *ib.* 20. carmen ad Theopromum 74 38 (cf. schol. Iliad. 106 *b* 47). Arati interpretes v. Apollinaris, Aristarchus, Crates, Diodorus, Plutarchus, Sporus, Zenodotus.
Arcas Callistonis f. 54 25. Ἀρκτοῦρος s. Ἀρκτοφύλαξ 92. 95. 609. 60 22.
Archilochus 144 19.
Argo 342. 83 6.
Ariadne 72. a Venere et Horis donata 58 39. Oenopionis mater 108 4.
Aries 225. 709. 70 18.
Arion citharoedus 79 26.
Aristarchus Arati interpres 55 13, Homeri 74 19.
Aristophanes comicus 148 13.
Aristoteles de parheliis 130 10. de iride 137 7. de voce ranarum 138 6. de cometis 151 33. de avium migrationibus 152 24.
Aristotherus mathematicus 48 20.
Asclepiades 50 1.
Asini 64 27.
Asopus Thespiae pater 70 15.
Astraeus 98. mathematicus 61 3.
Athenarum situs 95 31.
Athenienses boves ἐργάτας primi mactant 62 28.
Athenodorus Arati pater 48 1, frater 48 7.
Atlas Caeli et Clymenae f. 73 28. Hyadum et Pleiadum pater 73 26 et 34 et 41.
Auriga 156. 66 17.
axis 22.
Bacchus Ὕης 67 8. ab Hyadibus nutritus 67 7. Oenopionis pater 108 4. Coronam in caelo ponit 72 et 68 37, Asinos 64 27. cur cum Cerere colatur 149 24.
Bellerophon v. Auriga.
Belus Libyae f. 68 11.
Berenicae caesaries 64 5.
Bochernus vel Bochersus (Βόδεγκος?) fl. 83 40.
Bootes v. Auriga.
Brylle Minois f. 80 16.
Cadmus Hyadum pater. 67 12. draconem interficit 57 1.
Caelus Atlantis pater 73 28.
Callimachus 48 6 et 22, 64 6, 78 1, 141 14.
Callisto 54 12 et 20.
Callithea prima Iunonis Argivae sacerdos 66 19.
Calondas Arati frater adversus Zoilum scribit 48 7.
Cancer 147. 491. 569. 64 24.
Canicula v. Procyon.
Canis 326. 54 3, 81 6. cf. Sirius.
Canobus 83 13.
Capra 157. 679. 65 39.
caprae sauciae dictamnum petunt 56 3.
Capricornus 286. 684. 77 3.
Cassiopeia 189. 68 2.
Celaeno 262.
Cellas Pelopis auriga 66 20.
Centaurus 431.
Cepheus 179. 68 8 et 14.
Ceres una cum Baccho colitur 149 24.
Cetus 354.
Chaldaei 64 29, 72 24, 116 37.
Chares Homeri interpres 74 20.
χηλὰς esse libram 60 12.
Chiron 89 11 et 17.
Chius Oenopionis regnum 108 5. olim Ophiusa *ib.* 7.
circuli caelestes 92 21.
clavis Laconica 69 1 et 4. claves templorum Aegyptiacorum 65 18.
Cleea Hyas 67 14, 73 38.
Clymene Oceani f. 73 28.
colari 94 13.
cometarum ratio 151 17.
Conon mathematicus 64 4.
Corax Apollinis minister 90 4.
Corona 71. 58 37. australis 86 18.
Coronis Hyas 67 14, 73 28.
Corvus 449. 89 41, 90 4.
Corybantes Iovem nutriunt 35, 55 23, 56 4.
coturnicis sternutatio 65 24.
Crater 448.
Crates Arati interpres 58 12, Homeri 74 20.
in Creta Orion cum Diana venatur 80 24.
Cretenses Delphos a delphino deducti 79 25.
Curetes 56 4.
Cyclopes 86 37.
Cydalion Orioni a Vulcano dux datus 80 21.
Cygnus 275. 76 18.
Cynosura 36. 56 6 et 11 et 16.
Dardanus Iovis ex Electra f. 74 40.
Delphinus 316. 79 23.
Delta, Δελτωτόν 233. 71 22—31.
Demetrius Poliorceta 48 12.
Democritus de cometis 151 26.
Derce Veneris f. 72 3.
dictamnum 55 40.
Dicte s. Dictum promontorium 55 22.
Diodorus Arati interpres 70 13, 74 16.

Digitized by Google

Dionysius Heracleota Arati magister 48 4.
Draco 45. 57 1 et 7.
Electra Pleias 262. 74, 30 et 38.
Ephesi situs 95 32.
Epimetheus Atlantis frater 73 27.
Equus v. Pegasus.
Eratosthenes 70 18, 86 35, 94 4.
Eridanus 360. 83 29 et 39.
Eudora Hyas 67 14, 73 39.
Eudoxus 59 32 et 36, 117 6, 118 25.
Euphorion 56 2, 67 8, 97 17.
Euripides 140 31. ἐν Ἐρεχθεῖ 67 10. ἐν Φαέθοντι 67 6.
Europa e Phoenicia in Cretam vecta 66 28.
Euxinus Pontus 130 26.
Fera 442.
γαλαξίας κύκλος 93 24.
Gallia cisalpina 83 39.
Ganymedes Aquarius 76 41.
Gorgonis caput 73 13. Gorgones 73 15.
Gemini 147. 450. 717.
grammaticorum cum mathematicis dissidium 53 12.
Heliades 84 1.
Helice 37. 54 20, 55 5, 56 7 et 10.
Helle 70 18.
Hellespontus 95 26.
Hercules ὁ Ἐγγούνασιν 75 41, Serpentarius 59 14 et 15. hydram interficit 64 25. Herculis labor primus 65 6.
Hermippus de Centauro 89 11. de Delphino 79 24.
Herodianus grammaticus 82 28.
Herodotus oceanum esse negat 54 6.
Hesiodus 48 24, 49 24, 51 5, 53 6, 54 20, 55 31, 56 39, 60 39, 61 7 et 20 et 27, 63 14, 65 31, 67 13, 70 10, 78 8, 80 16, 87 19, 101 21, 144 37. ἐν τῇ ἀστρικῇ αὐτοῦ βίβλῳ 73 37.
Hesperidum poma 59 36.
Hipparchus 59 36, 74 13, 75 39, 117 7. Aratum castigat 72 16.
Hippias de Hyadibus 67 6.
Hippocrates Pythagoreus 152 6.
Hippocrene 221.
Hoedi 158.
Homerus 48 24, 49 5 et 9 et 17 et 28, 50 9 et 16 et 36, 53 36, 54 3, 55 8, 56 24, 57 4 et 25, 58 13, 60 26, 62 26, 63 27, 65 33, 67 30, 69 5 et 41, 73 17, 74 19, 77 25, 79 3, 80 1 et 41, 81 7 et 35, 82 36, 88 7 et 30, 89 25, 96 11, 97 36, 98 12, 104 36, 108 27. 113 32, 115 35, 133 13, 135 3, 138 10, 140 19, 144 36, 148 20.
Ὁμηρικὸν ἔθος 109 31, 145 31.
Ὁμηρικαὶ μεταχειρήσεις 53 33.
Ὁμηρικὸν πλάσμα 61 15. Ὁμηρικὴ χρῆσις 79 41.
cf. Aristarchus, Chares, Crates.
Horae Ariadnam coronant 58 40.
horologia 95 40.
Hyades 173. 66 41. Bacchum nutriunt 67 7.
Hyas Atlantis filius 73 34.
Hydra 444. 89 30.
Iason Chironis discipulus 89 15.
Ida Cretensis 55 25.
Idaei Dactyli 56 5.
Ilithyia dictamno redimita 56 1.
Io Epaphi mater 68 10.
Iphimedeae filii 108 27.
Isidi sacer Canis 65 22.
Iuliano inscripta in Aratum scholia 156 4.
Iuno Cancrum inter astra reponit 64 25, viam lacteam 94 5. Iunonis prima sacerdos 66 19.
Iuppiter aer 49 15. Αἴγειος 66 1. Alysius 55 26. cygnus 76 19. draco 57 8. φύξιος 70 19. planeta 90 41, 91 8. a Capra nutritus 65 39, a Corybantibus 34, 55 23. fratrum suorum natu minimus 51 1. cur Ζεὺς vocetur 49 26. lapidibus pluit 59 17. τρίτη Διὸς σωτῆρος 50 36. Iovis stellae 117 26.
Iustitia v. Virgo.
Ixion Serpentarius 59 18, ὁ Ἐγγούνασιν 75 41. Ixionis rota 86 19.
lac s. circulus lacteus 476. 93 25, 94 4.
Leda ovum parit 76 21.
Lenodora Arati mater 48 1.
Leo 148. 590. 65 5.
Lepus 338. 82 10.
Libye Epaphi f. 68 11.
Luna Solis filia 91 20. planeta 91 2 et 13.
lupus Apollini sacer 116 4.
Lycaeum inaccessum 54 27, 60 23.
Lycaon 54 20.
Lyra 268. lyra a Mercurio septem, ab Orpheo novem chordis instructa 75 34—37.
Macedonia 95 26.
Maia 263.
Marathonius taurus 66 30.
Mars planeta 90 41, 91 9.
Menander 48 6.
Menelai gubernator Canobus 83 13.
Menophantus 74 17.
menses Graecorum et Aegyptiorum 114 16, 115 9.
Mercurius Iunoni quem nutriat indicat 94 5. lyram invenit 72 25 et 29. Perseo talaria donat 73 12. leporem in caelo ponit 82 10. planeta 91 1 et 12.
Merope Pleias 262. Oenopionis f. 80 18.
Metrodorus de iride 137 4.
Minerva Argo in caelo ponit 83 6.
Minos Orionis avus 80 16.
Mnaseas Arati pater 48 19.
mundum Graeci semper moveri credunt 98 20 et 31.
Musaeus lyrae Orphicae heres 75 37.
Myris Arati frater 48 7.
Myrtilus 66 20.
Myrtilus de Hyadibus 67 11.
Nauplius Ursam maiorem repperit 54 11.
Nemesis a Iove compressa 76 20.
Neptunus Amphitrite quomodo potitus 79 23. equi pater 70 8, Orionis 80 16. Cepheo belluam immittit 83 18, 109 13. Neptuni stellae 117 25.
Nicander mathematicus 48 23.
Nicander poeta 48 15, 66 21, 74 12, 134 9, 137 29.
Nilus Amnis caelestis 83 40, Hydra 89 31. quando crescat 64 30, 65 21, 77 2. decrescit 90 2.
Nodus 362.
Oceanus Pleones pater 73 27. oceanus ab Herodoto tollitur 54 6. oceanus horizon 53 38, 98 32, 130 36.
Oenomaus Auriga 66 21.
Oenopion Meropes pater 80 18.
Olenus Caprae pater 66 24.


Digitized by Google

Ophiusa quae postea Chius 108 7.
Orion 232, 322. Neptuni f. 80 16. Dianam violat 80 25, 107 34, 108 9. Pleiades persequitur 73 30, 74 3.
Pan capricorni formam induit 77 4.
Pasiphae taurum amat 66 30.
Pegasus 205 69 28.
Pelops 66 20.
Perseus 248. 68 6, 73 10.
Persius philosophus 48 9.
Phaeo Hyas 67 14, 73 38.
Phaesyle Hyas 67 13, 73 38.
Phaethon 83 31.
Pherecydes de Hyadibus 67 7.
Phila Antigoni uxor 48 5 et 11.
Philetas 48 6.
Phoenices rei navalis periti 56 20.
Phryxus 70 19.
Pindarus 49 4, 50 30, 61 40, 77 1.
pisces adversus ventum natant 134 21.
Pisces 240. 362. 700. Piscis australis 387, 85 38. χελιδονίας 72 24. magnus 85 27.
planetae 454. 90 23 et 39.
Plato de anno magno 91 37. ἐν νόμοις 49 10, 50 33.
Plaustra 54 10 et 15, 55 1.
Pleiades 255. 73 26, 74 1.
Plutarchus 123 36, 125 14, 147 2, 148 2 et 29, 149 6, 152 32.
Polydectes Seriphius 73 12.
Pompeiopolis 48 3.
Posidonius 129 39, 151 37.
Praesepe 892. 996.
Procyon 450. 90 12.
Prometheus Atlantis frater 73 27. Serpentarius 59 14.
Proserpinae raptus 65 12 et 15.
Proteus aer 49 17.
Ptolemaeus Philadelphus 48 3 et 13, 64 5.
pyrrhichen saltant Corybantes 55 23.
Pythagorei 122 23, 151 17.
Python ab Apolline interfectus 57 3.
Regulus 64 28.
Rhodus ins. 83 15.
Sagitta 311. 664.
Sagittarius 306. 620.
Saturnus 55 24, 57 8. planeta 90 40, 91 6.
Scorpius 304. 620. 86 27.
septenarius numerus 122 24.
Serpentarius 75. 59 11.
sexangula figura 98 40.
Sirius v. Canis.
sol quanto maior quam terra 99 20. Solis filia Luna 91 20. Solis filiae in populos conversae 84 1.
Soli Ciliciae urbs 48 2.
Solon Lindius 48 2.
Sporus Arati interpres 99 24, 152 10.
Sterope Pleias 263.
Stoici 49 16 et 20.
Syri piscibus abstinent 72 4.
Tantalus Serpentarius 59 15.
Taurus 66 28.
Taygete Pleias 263.
terra mundi centrum 99 1 et 31. quanto minor sole 99 20.
Thales e Phoenice oriundus 56 22. Ursam minorem repperit 54 11. Hyadas novit duas 67 5.
Theophrastus 148 22.
Theseus taurum Marathonium conficit 66 31. Serpentarius 59 15.
Thespia Asopi f. 70 15.
Thespiae 70 5 et 14.
Thybris Serpentarius 59 15.
Timochares de numero stellarum Lyrae 75 40.
Titanes 50 40. a Pane terrentur 77 7.
tragici 91 20.
Trochilus primus equos currui iunxit 106 18.
tropicus Cancri 480, Capricorni 501.
Turibulum 403. 86 34.
Ulixis socii quales comederint boves 62 29.
Uraniscus 86 17.
Ursae 27. 53 38, 54 10.
Venus Ariadnen coronat 58 40. Derces mater 72 3. planeta 91 1 et 11.
Vergiliae v. Pleiades.
vespae unde gignantur 149 18.
Vindemiator 137. 60 27.
Virgo 96. 596. 60 32, 61 5.
vox definitur 49 21.
Vulcanus Orioni ducem dat 80 21. Perseum armat 73 12.
Vulpes 74 33.
Zenodotus Mallotes Arati interpres 55, 40.
zodiacus 544. a quo signo incipiat 99 39.
Zoilus 48 7.

Digitized by Google

Digitized by Google

I 718/K.

Digitized by Google

UNIVERSITY OF MICHIGAN
3 9015 06698 9016
A 661519
Digitized by Google

Digitized by Google